τὰς τῶν Μαυρουσίων ἐπιδρομὰς περιβόλου ἐφύλασσον
the of-the Moors raids of-(a)-circuit-wall preserved

σχῆμα, τῶν δορυφόρων ἕνα Βοριάδην ἅμα τῶν
(the)-form of-the guards one Boriades together-with of-the
ὑπασπιστῶν τισιν ἔστελλεν, ἐπαγγείλας αὐτοῖς τῆς τε
shield-bearers some he-sent having-instructed them of-the both
πόλεως ἀποπειρᾶσθαι καί, ἢν ἕλωσι, κακὸν μὲν
city to-make-trial and if they-should-take(-it) harm indeed
μηδὲν ἐν αὐτῇ δρᾶσαι, ἐπαγγείλασθαι δὲ ἀγαθὰ μυρία,
nothing in it to-do to-promise and good(-things) ten-thousand
καὶ ὡς ἐπὶ τῇ αὐτῶν ἐλευθερίᾳ ἥκοιεν, ὥστε εἰσιτητὰ
and that for the their freedom they-had-come so-that accessible
τῷ στρατῷ ἐς αὐτὴν γενέσθαι.
to-the army into it to-become
οἱ δὲ περὶ λύχνων ἁφὰς ἀγχοῦ τῆς πόλεως γενόμενοι 16.10
they and about of-lamps lighting near the city having-come
ἐν φάραγγί τε λαθόντες διενυκτέρευσαν. ἕωθεν δὲ
in (a)-ravine both unseen passed-the-night at-dawn and
ἀγροίκων σὺν ἁμάξαις ἐς αὐτὴν εἰσιόντων ἐπιτυχόντες
peasants with wagons into it going-in having-met
συνεισῆλθόν τε σιωπῇ καὶ οὐδενὶ πόνῳ τὴν πόλιν ἔσχον.
they-went-in-with(-them) both in-silence and with-no toil the city took
καὶ ἐπεὶ ἡμέρα ἐγένετο, οὐδενὸς θορύβου ἡγησαμένου, τόν 16.11
and when day came no confusion having-gone-before the
τε ἱερέα καὶ εἴ τι δόκιμον ἦν ξυγκαλέσαντες τάς τε
both priest and if anyone notable was having-called-together the both
τοῦ στρατηγοῦ ἐντολὰς ἀπήγγελλον, καὶ τὰς κλεῖς τῶν
of-the general instructions they-reported and the keys of-the
εἰσόδων παρ᾽ ἑκόντων λαβόντες τῷ στρατηγῷ ἔπεμψαν.
entrances from willing(-men) having-received to-the general they-sent
Τῇ δὲ αὐτῇ ἡμέρᾳ καὶ ὁ τοῦ δημοσίου δρόμου 16.12
on-the and same day also the(-one) of-the public post
ἐπιμελούμενος ἠτομόλησε παραδοὺς τοὺς δημοσίους
overseeing deserted having-handed-over the public

ξύμπαντας ἵππους. ξυλληφθέντα δὲ καί τινα τῶν ἐς
all horses having-been-seized and also one of-the(-men) on
τὰς βασιλικὰς ἀποκρίσεις ἀεὶ στελλομένων, οὓς δὴ
the imperial replies always sent whom indeed
βεριδαρίους καλοῦσι, κακὸν μὲν οὐδὲν ὁ στρατηγὸς ἔδρασε,
veredarii they-call harm indeed nothing the general did
χρυσῷ δὲ πολλῷ δωρησάμενος καὶ πιστὰ λαβὼν τὰς
with-gold and much having-presented(-him) and pledges having-received the
ἐπιστολὰς ἐνεχείρισεν, ἅσπερ Ἰουστινιανὸς βασιλεὺς πρὸς
letters entrusted which-very Justinian emperor to
Βανδίλους ἔγραψεν ἐφ' ᾧ τοῖς Βανδίλων ἄρχουσι δοῦναι.
Vandals wrote on which to-the of-Vandals rulers to-give(-them)
16.13 ἐδήλου δὲ ἡ γραφὴ τάδε "Οὔτε Βανδίλοις πολεμεῖν
showed and the writing these(-things) neither with-Vandals to-war
ἔγνωμεν οὔτε τὰς Γιζερίχου σπονδὰς λύομεν, ἀλλὰ τὸν
we-decided nor the of-Gizeric treaty we-break but the
ὑμέτερον τύραννον καθελεῖν ἐγχειροῦμεν, ὃς τῶν Γιζερίχου
your tyrant to-overthrow we-undertake who of-the of-Gizeric
διαθηκῶν ὀλιγωρήσας τὸν μὲν βασιλέα ὑμῶν καθείρξας
testament having-disregarded the indeed king your having-imprisoned
τηρεῖ, τῶν δὲ αὐτοῦ συγγενῶν οὓς μὲν σφόδρα ἐμίσει κατ'
keeps of-the and his kinsmen whom indeed greatly he-hated at
ἀρχὰς ἔκτεινε, τοὺς δὲ λοιποὺς τὰς ὄψεις ἀφελόμενος
(the)-beginnings he-killed the and rest the eyes having-taken-away
ἐν φυλακῇ ἔχει, οὐκ ἐῶν θανάτῳ καταλῦσαι τὰς συμφοράς.
in custody holds not allowing by-death to-end the misfortunes
16.14 συλλάβεσθε τοίνυν ἡμῖν καὶ συνελευθεροῦτε ὑμᾶς αὐτοὺς
join-in-the-work therefore with-us and help-free you yourselves
οὕτω μοχθηρᾶς τυραννίδος, ὅπως ἂν δύνησθε τῆς τε
so of-wretched of-tyranny so-that — you-may-be-able the both

εἰρήνης καὶ τῆς ἐλευθερίας ἀπόνασθαι. ταῦτα γὰρ ὑμῖν
peace and the freedom to-enjoy these(-things) for to-you
παρ᾽ ἡμῶν ἔσεσθαι πρὸς τοῦ θεοῦ τὰ πιστὰ δίδομεν.”
from us to-be before — God the pledges we-give
τοσαῦτα μὲν τὰ βασιλέως γράμματα ἐδήλου. ὁ δὲ 16.15
so-much indeed the of-(the)-emperor letters showed he and
ταῦτα παρὰ Βελισαρίου λαβὼν ἐξενεγκεῖν μὲν εἰς
these(-things) from Belisarius having-received to-bring-out indeed into
τὸ φανερὸν οὐκ ἐτόλμησε, λάθρα δὲ τοῖς φίλοις ἐπιδείξας
the open not dared secretly and to-the friends having-shown
οὐδὲν ὅ τι καὶ λόγου ἄξιον διεπράξατο.
nothing what ever even of-account worthy accomplished

VIII · AD DECIMUM

Belisarius marches on Carthage with the fleet beside him. Gelimer plans to trap him at Decimum: Ammatas from Carthage, Gibamund on the flank, himself from behind. Ammatas comes early and dies; the Massagetae rout Gibamund; Gelimer scatters the Roman horse but stops to bury his brother, and Belisarius, rallying the fleeing, routs him by nightfall.

Βελισάριος δὲ ὡς ἐς παράταξιν ὧδε διακοσμήσας τὸ 17.1
Belisarius and as for battle-array thus having-arranged the
στράτευμα τὴν ἐπὶ Καρχηδόνα ἐβάδιζε. τῶν δ᾽
army the(-road) to Carthage marched of-the and
ὑπασπιστῶν τριακοσίους ἀπολέξας, ἄνδρας ἀγαθοὺς τὰ
shield-bearers three-hundred having-picked men good in-the
πολέμια, Ἰωάννῃ παρέδωκεν, ὅς οἱ ἐπεμελεῖτο τῆς περὶ
warlike(-things) to-John handed-over who for-him took-care of-the about
τὴν οἰκίαν δαπάνης· ὀπτίωνα τοῦτον καλοῦσι Ῥωμαῖοι.
the household expenditure optio this(-man) call Romans

17.2 ἀνὴρ δὲ ἦν Ἀρμένιος μὲν γένος, ξυνέσεως δὲ καὶ
(a)-man and he-was Armenian indeed by-race in-intelligence and and
ἀνδρίας ἐς τὸ ἀκρότατον ἥκων. τοῦτον δὴ τὸν
in-courage to the highest having-come this indeed —
Ἰωάννην ἐκέλευσε τῇ στρατιᾷ ἡγεῖσθαι, οὐχ ἧσσον ἢ
John he-ordered for-the army to-lead not less than
κατὰ εἴκοσι σταδίους διέχοντα, καὶ ἤν τι πολέμιον
by twenty stades being-distant and if anything hostile
ἴδοι, κατὰ τάχος σημῆναι, ὅπως δὴ μὴ ἀπαράσκευοι
he-should-see with speed to-signal so-that indeed not unprepared
ἐς μάχην καθίστασθαι ἀναγκάζοιντο.
into battle to-enter they-should-be-compelled

17.3 τοὺς δὲ ξυμμάχους Μασσαγέτας ἐκέλευε τοσούτοις ἢ
the and allies Massagetae he-ordered by-so-many or
καὶ πλείοσι σταδίοις ἀπέχοντας ἀεὶ κατὰ τὸ ἀριστερὸν
even more stades being-distant always on the left
μέρος τὴν πορείαν ποιεῖσθαι· αὐτὸς δὲ ὄπισθεν μετὰ τῶν
side the march to-make he and behind with the
ἀρίστων ἐβάδιζεν.
best marched

17.4 ὑπώπτευε γὰρ ἐκ τῆς Ἑρμιόνης Γελίμερα σφίσιν ἑπόμενον
he-suspected for from — Hermione Gelimer them following
οὐκ ἐς μακρὰν ἐπιθήσεσθαι. κατὰ γὰρ τὸ δεξιὸν μέρος
not at long would-attack on for the right side
οὐδὲν ἦν δέος οὐ πόρρω τῆς ἠιόνος πορευομένοις.
nothing was fear not far from-the shore marching

17.5 τοῖς δὲ ναύταις ἐπήγγελλε παρακολουθεῖν τε ἀεὶ καὶ
to-the and sailors he-ordered to-follow-along both always and
τοῦ στρατεύματος μὴ πολὺ διεστάναι, ἀλλ' ἐπιφόρου
from-the army not much to-stand-apart but favorable
μὲν γινομένου τοῦ πνεύματος χαλάσαντας τὰ μεγάλα
indeed becoming the wind having-slackened the great

ἱστία τοῖς μικροῖς, ἃ δὴ δόλωνας καλοῦσιν, ἕπεσθαι,
sails with-the small(-ones) which indeed dolones they-call to-follow
λωφήσαντος δὲ παντελῶς τοῦ ἀνέμου βιάζεσθαι ὅσον
having-dropped and altogether the wind to-force-their-way as-much-as
οἷοί τε ὦσιν ἐρέσσοντας.
able — they-be rowing

Εἰς δὲ Σύλλεκτον ἀφικόμενος Βελισάριος σώφρονάς τε 17.6
to and Syllectus having-come Belisarius self-controlled both
τοὺς στρατιώτας παρείχετο καὶ οὔτε ἀδίκων χειρῶν
the soldiers kept and neither of-unjust hands
ἄρχοντας οὔτε τι ἄπο τρόπου ἐργαζομένους, αὐτός τε
beginning nor anything out-of character doing he both
πραότητα καὶ φιλανθρωπίαν πολλὴν ἐνδεικνύμενος οὕτω
gentleness and humanity much displaying so
τοὺς Λίβυας προσεποιήσατο ὥστε τοῦ λοιποῦ καθάπερ ἐν
the Libyans won-over that for-the rest as in
χώρᾳ οἰκείᾳ τὴν πορείαν ποιεῖσθαι, οὔτε ὑποχωρούντων
land own the march to-make neither withdrawing
τῶν ταύτῃ ᾠκημένων οὔτε τι ἀποκρύπτεσθαι
the(-ones) there dwelling nor anything to-hide
βουλομένων, ἀλλὰ καὶ ἀγορὰν παρεχομένων καὶ τὰ
wishing but also (a)-market providing and the
ἄλλα τοῖς στρατιώταις ᾗ βούλοιντο ὑπηρετούντων.
other(-things) to-the soldiers as they-wished serving

ὀγδοήκοντα δὲ σταδίους ἀνύοντες εἰς ἡμέραν ἑκάστην 17.7
eighty and stades accomplishing for day each
ἄχρι ἐς Καρχηδόνα διετελέσαμεν, ἢ κατὰ πόλιν, ἂν
as-far-as to Carthage we-continued either in (a)-city if
οὕτω τύχῃ, ἢ ἐν στρατοπέδῳ ἐκ τῶν παρόντων ὡς
so it-should-chance or in (a)-camp from the present(-means) as
ἀσφαλέστατα αὐλιζόμενοι.
most-securely bivouacking

17.8 οὕτω γοῦν διά τε Λέπτης πόλεως καὶ Ἀδραμητοῦ ἐς
thus at-any-rate through both Leptis city and Hadrumetum to
Γράσσην τὸ χωρίον ἀφικόμεθα, πεντήκοντα καὶ τριακοσίους
Grasse the place we-came fifty and three-hundred
σταδίους Καρχηδόνος διέχον.
stades from-Carthage distant

17.9 ἔνθα δὴ βασιλειά τε ἦν τοῦ Βανδίλων ἡγουμένου καὶ
there indeed palace both was of-the of-Vandals leader and
παράδεισος κάλλιστος ἁπάντων ὧν ἡμεῖς ἴσμεν.
(a)-park most-beautiful of-all which we know

17.10 ταῖς τε γὰρ κρήναις κομιδῇ κατάρρυτός ἐστι καὶ ἄλσους
with-the both for springs quite well-watered it-is and of-groves
ἔχει πάμπολυ χρῆμα. ὀπώρας δὲ τὰ δένδρα μεστά ἐστι
it-has very-great (an)-amount of-fruit and the trees full are
ξύμπαντα· ὥστε τῶν στρατιωτῶν ἕκαστος τὴν καλύβην ἐν
all so-that of-the soldiers each the hut under
δένδροις ὀπώρας ἐπήξατο καὶ τῶν καρπῶν τηνικάδε ὡραίων
trees of-fruit fixed and the fruits then ripe
ὄντων ἐς κόρον μὲν αὐτῶν ἀφίκοντο πάντες, αἴσθησις
being to fill indeed of-them came all perception
δὲ σχεδόν τι τῆς ὀπώρας ἐλασσουμένης οὐ γέγονε.
and nearly somewhat of-the fruit being-diminished not arose

17.11 Γελίμερ δέ, ἐπεὶ ἐν Ἑρμιόνῃ τὸ πρῶτον παρόντας ἤκουσε
Gelimer and when in Hermione the first(-time) present he-heard
τοὺς πολεμίους, γράφει πρὸς τὸν ἀδελφὸν Ἀμμάταν ἐς
the enemies writes to the brother Ammatas to
Καρχηδόνα, Ἰλδέριχον μὲν καὶ ἄλλους, ὅσους εἴτε κατὰ
Carthage Ilderic indeed and others as-many-as either by
γένος εἴτε ἄλλως αὐτῷ προσήκοντας ἐν φυλακῇ ἔχει,
birth or otherwise to-him related in custody he-holds
ἀποκτιννύναι, αὐτὸν δὲ τούς τε Βανδίλους καὶ εἴ τι ἄλλο
to-kill himself and the both Vandals and if anything other

μάχιμον ἐν τῇ πόλει ἦν ἐν παρασκευῇ ποιήσασθαι, ὅπως
fighting in the city was in readiness to-make so-that
τῶν πολεμίων ἐν στενοῖς γενομένων ἀμφὶ τὸ τῆς πόλεως
the enemies in narrows having-come about the of-the city
προάστειον, ὃ Δέκιμον καλοῦσιν, ἀμφοτέρωθεν ξυνιόντας
suburb which Decimum they-call from-both-sides coming-together
κυκλώσασθαί τε αὐτοὺς καὶ σαγηνεύσαντας διαφθεῖραι.
to-encircle both them and having-netted(-them) to-destroy
Ἀμμάτας δὲ κατὰ ταῦτα ἐποίει, καὶ τόν τε Ἰλδέριχον, 17.12
Ammatas and according-to these(-things) did and — both Ilderic
ξυγγενῆ ὄντα, καὶ Εὐαγέην ἀπέκτεινε καὶ τῶν Λιβύων
kinsman being and Euagees killed and of-the Libyans
ὅσοι αὐτοῖς ἐπιτήδειοι ἦσαν.
as-many-as to-them intimate were
Ὅαμερ γὰρ ἤδη ἐξ ἀνθρώπων ἠφάνιστο. τούς τε 17.13
Hoamer for already from men had-vanished the both
Βανδίλους ἐξοπλίσας, ὡς εἰς καιρὸν ἐπιθησόμενος, ἐν
Vandals having-armed as at (the)-right-time going-to-attack in
παρασκευῇ ἐποιήσατο.
readiness he-made
Γελίμερ δὲ ὄπισθεν, οὐ παρέχων ἡμῖν αἴσθησιν, εἵπετο, 17.14
Gelimer and behind not giving us perception followed
πλήν γε δὴ ὅτι ἐν τῇ νυκτὶ ταύτῃ, ᾗ ἐν Γράσσῃ
except at-least indeed that in the night this in-which in Grasse
ηὐλισάμεθα, κατάσκοποι ἑκατέρωθεν ἰόντες ξυνέμιξαν,
we-bivouacked scouts from-each-side coming met
πλήξαντές τε ἀλλήλους ἐς τὸ σφέτερον στρατόπεδον
having-struck both one-another to the their-own camp
ἑκάτεροι ἀπεχώρησαν, καὶ ταύτῃ γέγονεν ἡμῖν φανερὸν
each(-side) withdrew and thus it-became to-us evident
οὐ πόρρω εἶναι τοὺς πολεμίους.
not far to-be the enemies

17.15 ἐνθένδε ἡμῖν πορευομένοις τὰς ναῦς ἐσορᾶν ἀδύνατα ἦν.
from-there for-us marching the ships to-see impossible it-was
πέτραι γὰρ ὑψηλαί, πόρρω τῆς θαλάσσης διήκουσαι,
rocks for high far into-the sea extending
περίοδον τοῖς πλέουσι πολλῷ μέτρῳ ἐργάζονται, καὶ
(a)-circuit for-the(-ones) sailing by-great measure make and
ἄκρα ἀνέχει, ἧς ἐντὸς τοῦ Ἑρμοῦ πόλισμά ἐστι.
(a)-headland rises which within — of-Hermes town is
17.16 Βελισάριος οὖν Ἀρχελάῳ τε τῷ ἐπάρχῳ καὶ Καλωνύμῳ
Belisarius then to-Archelaus both the prefect and to-Calonymus
τῷ ναυάρχῳ ἐπέστελλεν ἐς Καρχηδόνα μὲν μὴ καταίρειν,
the admiral enjoined to Carthage indeed not to-put-in
σταδίους δὲ ἀμφὶ τοὺς διακοσίους ἀπέχοντας ἄχρι αὐτὸς
stades but about the two-hundred being-distant until he
καλέσῃ μένειν.
should-call to-remain
17.17 ἐκ δὲ Γράσσης ἐξαναστάντες τεταρταῖοι ἐς Δέκιμον
from and Grasse having-set-out on-the-fourth-day to Decimum
ἀφικόμεθα, σταδίοις ἑβδομήκοντα Καρχηδόνος ἀπέχον.
we-came by-stades seventy from-Carthage distant
18.1 Ἐν δὲ δὴ τῇ ἡμέρᾳ ταύτῃ Γελίμερ τὸν ἀνεψιὸν
in and indeed the day this Gelimer the cousin
Γιβαμοῦνδον ἐκέλευεν ἅμα Βανδίλων δισχιλίοις
Gibamund ordered together-with of-Vandals two-thousand
φθάνοντα τὸ ἄλλο στράτευμα κατὰ τὸ εὐώνυμον μέρος
anticipating the other army on the left side
ἰέναι, ὅπως Ἀμμάτας μὲν ἐκ Καρχηδόνος, Γελίμερ δὲ
to-go so-that Ammatas indeed from Carthage Gelimer and
αὐτὸς ὄπισθεν, Γιβαμοῦνδος δὲ ἐκ τῶν ἐν ἀριστερᾷ
himself behind Gibamund and from the in (the)-left

χωρίων ἐς ταὐτὸ ξυνιόντες ῥᾷον δὴ καὶ ἀπονώτερον
places to the-same coming-together more-easily indeed and with-less-toil
τὴν κύκλωσιν τῶν πολεμίων ποιήσονται.
the encirclement of-the enemies might-make
ἐμοὶ δὲ τά τε θεῖα καὶ τὰ ἀνθρώπεια ἐν τῷ πόνῳ 18.2
to-me and the both divine(-things) and the human(-things) in the toil
τούτῳ ἐπῆλθε θαυμάσαι, ὅπως ὁ μὲν θεός, πόρρωθεν ὁρῶν
this occurred to-wonder-at how — indeed God from-afar seeing
τὰ ἐσόμενα, ὑπογράφει ὅπη ποτὲ αὐτῷ τὰ πράγματα
the(-things) going-to-be sketches how ever to-him the affairs
δοκεῖ ἀποβήσεσθαι, οἱ δὲ ἄνθρωποι ἢ σφαλλόμενοι ἢ
seem going-to-turn-out the and men either failing or
τὰ δέοντα βουλευόμενοι οὐκ ἴσασιν ὅτι ἔπταισάν τι, ἂν
the(-things) needful planning not know that they-stumbled at-all —
οὕτω τύχοι, ἢ ὀρθῶς ἔδρασαν, ἵνα γένηται τῇ τύχῃ
so it-would-chance or rightly did so-that may-be for-the fortune
τρίβος, φέρουσα πάντως ἐπὶ τὰ πρότερον δεδογμένα.
(a)-path leading altogether to the(-things) before decreed
εἰ μὴ γὰρ Βελισάριος οὕτω διῳκήσατο τὴν παράταξιν, 18.3
if not for Belisarius so had-managed the battle-array
τοὺς μὲν ἀμφὶ τὸν Ἰωάννην προτερῆσαι κελεύσας, τοὺς
the(-men) indeed with — John to-go-ahead having-ordered the
δὲ Μασσαγέτας ἐν ἀριστερᾷ τῆς στρατιᾶς ἰέναι, οὐκ ἄν
and Massagetae on (the)-left of-the army to-go not —
ποτε διαφυγεῖν τοὺς Βανδίλους ἰσχύσαμεν.
ever to-escape the Vandals we-would-have-been-able
καὶ τούτων δὲ οὕτω Βελισαρίῳ βεβουλευμένων, εἰ τὸν 18.4
and these(-things) too so by-Belisarius having-been-planned if the
καιρὸν Ἀμμάτας διεφύλαξε καὶ μὴ τοῦτον τεταρτημορίῳ
time Ammatas had-kept and not this by-(a)-quarter

τῆς ἡμέρας μάλιστα ἔφθασεν, οὐκ ἄν ποτε οὕτω
of-the day about had-anticipated not — ever so
Βανδίλοις διεφθάρη τὰ πράγματα·
for-Vandals would-have-been-ruined the affairs
18.5 νῦν δὲ Ἀμμάτας προτερήσας ἀμφὶ μέσην ἡμέραν ἐς Δέκιμον
now but Ammatas having-anticipated about mid day to Decimum
ἦκε, μακρὰν ἀπολελειμμένων ἡμῶν τε καὶ τοῦ Βανδίλων
came far left-behind we both and the of-Vandals
στρατεύματος, οὐ τοῦτο μόνον ἁμαρτήσας, ὅτι οὐκ ἐν
army not this only having-erred that not at
δέοντι ἀφίκετο χρόνῳ, ἀλλὰ καὶ τὸ Βανδίλων πλῆθος ἐν
needful he-arrived time but also the of-Vandals multitude in
Καρχηδόνι ἀπολιπών, ἀπαγγείλας τε ὡς τάχιστα ἐς
Carthage having-left having-ordered both as quickly(-as-possible) to
τὸ Δέκιμον ἥκειν, αὐτὸς ξὺν ὀλίγοις καὶ οὐδὲ ἀριστίνδην
— Decimum to-come himself with few and not-even by-merit
ξυνειλεγμένοις τοῖς ἀμφὶ τὸν Ἰωάννην ἐς χεῖρας ἦλθε.
gathered with-the(-men) about — John into hands came
18.6 καὶ κτείνει μὲν τῶν ἀρίστων δώδεκα ἐν τοῖς πρώτοις
and kills indeed of-the best twelve in the first(-ranks)
ἀγωνιζομένους, πίπτει δὲ καὶ αὐτός, ἀνὴρ ἀγαθὸς ἐν τῷ
fighting falls and also himself (a)-man good in the
ἔργῳ τούτῳ γενόμενος.
deed this having-become
18.7 καὶ ἡ μὲν τροπή, ἐπεὶ Ἀμμάτας ἔπεσε, λαμπρὰ ἐγεγόνει,
and the indeed rout when Ammatas fell brilliant had-become
φεύγοντες δὲ κατὰ κράτος οἱ Βανδίλοι ἀνεσόβουν ἅπαντας
fleeing and by force the Vandals scared-off all
τοὺς ἐκ Καρχηδόνος ἐς Δέκιμον ἰόντας.
the(-men) from Carthage to Decimum going

ἐπορεύοντο γὰρ οὐδενὶ κόσμῳ οὐδὲ ὡς ἐς μάχην 18.8
they-were-marching for in-no order nor as for battle
ξυντεταγμένοι, ἀλλὰ κατὰ συμμορίας, καὶ ταύτας βραχείας·
drawn-up but by bands and these short
κατὰ τριάκοντα γὰρ ἢ εἴκοσιν ἤεσαν.
by thirty for or twenty they-went
ὁρῶντες δὲ Βανδίλους τοὺς ἀμφὶ τὸν Ἀμμάταν φεύγοντας, 18.9
seeing and Vandals the(-men) with — Ammatas fleeing
καὶ οἰόμενοι τοὺς διώκοντας παμπληθεῖς εἶναι, τρέψαντες
and thinking the(-men) pursuing very-numerous to-be having-turned
τὰ νῶτα συνέφευγον.
the backs they-fled-with(-them)
Ἰωάννης δὲ καὶ οἱ ξὺν αὐτῷ οἷς ἂν ἐντύχοιεν 18.10
John and also the(-men) with him whomever — they-met
κτείνοντες ἄχρι ἐς τὰς Καρχηδόνος πύλας ἀφίκοντο.
killing as-far-as to the of-Carthage gates came
καὶ γέγονε φόνος Βανδίλων ἐν τοῖς ἑβδομήκοντα σταδίοις 18.11
and happened (a)-slaughter of-Vandals in the seventy stades
τοσοῦτος ὥστε εἰκάζειν τοὺς θεωμένους δισμυρίων
so-great that to-guess the(-ones) beholding of-twenty-thousand
πολεμίων τὸ ἔργον εἶναι.
enemies the work to-be
Κατὰ δὲ τὸν αὐτὸν χρόνον Γιβαμοῦνδός τε καὶ οἱ 18.12
at and the same time Gibamund both and the
δισχίλιοι ἦκον ἐς Πεδίον Ἁλῶν, ὅπερ τεσσαράκοντα
two-thousand came to (the)-Plain of-Salt which-very forty
μὲν σταδίοις τοῦ Δεκίμου ἀπέχει ἐν ἀριστερᾷ εἰς
indeed by-stades — from-Decimum is-distant on (the)-left to
Καρχηδόνα ἰόντι, ἀνθρώπων δὲ καὶ δένδρων καὶ
Carthage for-(one)-going of-men and and of-trees and
ἄλλου ὁτουοῦν ἔρημόν ἐστι, τῆς τοῦ ὕδατος ἅλμης
of-other anything-whatever empty is the of-the water saltness

ἄλλο οὐδὲν ἐνταῦθα πλὴν τοὺς ἅλας ἐώσης γίγνεσθαι·
other(-thing) nothing there except the salt allowing to-grow
ἔνθα δὴ τοῖς Οὔννοις περιπεπτωκότες ἀπώλοντο πάντες.
where indeed with-the Huns having-fallen-in they-perished all

18.13 ἦν δέ τις ἐν τοῖς Μασσαγέταις ἀνήρ, ἀνδρίας μὲν
was and a-certain among the Massagetae (a)-man in-courage indeed
καὶ ἰσχύος εὖ ἥκων, ὀλίγων δὲ ἡγούμενος ἀνδρῶν· οὗτος
and strength well endowed few and leading men this(-man)
εἶχε γέρας ἐκ πατέρων τε καὶ προγόνων ἐν πᾶσι
had (the)-privilege from fathers both and ancestors in all
τοῖς Οὐννικοῖς στρατεύμασι πρῶτος εἰς τοὺς πολεμίους
the Hunnic armies first upon the enemies
εἰσβάλλειν.
to-charge

18.14 οὐ γὰρ ἦν θεμιτὸν ἀνδρὶ Μασσαγέτῃ προτύψαντι ἐν
not for it-was lawful for-(a)-man Massagete having-struck-first in
μάχῃ τῶν τινα πολεμίων λαβεῖν, πρίν γε δή τινα ἐκ
battle of-the any enemies to-take before at-least indeed someone from
ταύτης τῆς οἰκίας ἐς τοὺς πολεμίους τῶν χειρῶν ἄρξαι.
this the house against the enemies of-the hands to-begin

18.15 οὗτος ἀνήρ, ἐπεὶ τὰ στρατεύματα οὐ πόρρω ἀπ᾽ ἀλλήλων
this man when the armies not far from one-another
ἐγένετο, ἐξελάσας τὸν ἵππον, τοῦ τῶν Βανδίλων
came having-ridden-out the horse of-the of-the Vandals
στρατοπέδου μόνος ὡς ἐγγυτάτω ἔστη.
camp alone as nearest stood

18.16 οἱ δὲ Βανδίλοι, ἢ τὴν τοῦ ἀνδρὸς εὐψυχίαν καταπλαγέντες
the and Vandals either the of-the man courage having-been-astounded-at
ἢ καί τι τοὺς πολεμίους ὑποτοπήσαντες ἐς αὐτοὺς
or also something the enemies having-suspected against them
μηχανᾶσθαι, οὔτε κινεῖσθαι οὔτε τὸν ἄνδρα βαλεῖν ἔγνωσαν.
to-be-contriving neither to-move nor the man to-shoot decided

οἶμαι δὲ αὐτοὺς οὐπώποτε Μασσαγετῶν μάχην ἐν πείρᾳ 18.17
I-think and them never-yet of-Massagetae battle in trial
ἔχοντας, ἀκούοντας δὲ κομιδῇ μάχιμον τὸ ἔθνος εἶναι,
having hearing but quite warlike the nation to-be
οὕτω δὴ κατορρωδῆσαι τὸν κίνδυνον.
thus indeed to-have-dreaded the danger
ἀναστρέψας δὲ ἐς τοὺς ὁμοφύλους ὁ ἄνθρωπος ἔλεξεν, 18.18
having-returned and to the fellow-tribesmen the man said
ὡς ὁ θεὸς σφίσιν ἕτοιμον βρῶσιν τοὺς ξένους τούσδε
that — God for-them ready food the strangers these
πέμψειεν.
had-sent
οὕτω δὴ ὁρμωμένους αὐτοὺς οἱ Βανδίλοι οὐχ ὑπέμειναν, 18.19
thus indeed charging them the Vandals not withstood
ἀλλὰ λύσαντες τὴν τάξιν καὶ ἥκιστα ἐς ἀλκὴν ἰδόντες
but having-broken the rank and least to resistance having-looked
ἅπαντες αἰσχρῶς διεφθάρησαν.
all shamefully were-destroyed
Ἡμεῖς δὲ τῶν γεγονότων οὐδ' ὁτιοῦν πεπυσμένοι 19.1
we and of-the(-things) having-happened not-even anything having-learned
ἐπὶ τὸ Δέκιμον ᾔειμεν. Βελισάριος δὲ χῶρον ἰδὼν
to — Decimum went Belisarius and (a)-place having-seen
ἐς στρατόπεδον ἱκανῶς πεφυκότα, πέντε καὶ τριάκοντα
for (a)-camp sufficiently suited five and thirty
σταδίοις τοῦ Δεκίμου διέχοντα, χαράκωμά τε αὐτῷ
by-stades — from-Decimum distant (a)-stockade both around-it
περιέβαλεν εὖ μάλα πεποιημένον καὶ τοὺς πεζοὺς
threw well very made and the foot-soldiers
ἅπαντας ἐνταῦθα καταστησάμενος ἅπαν τε ξυγκαλέσας
all there having-posted all both having-called-together

τὸ στράτευμα ἔλεξε τοιάδε “Ὁ μὲν τῆς ἀγωνίας
the army spoke such(-things) the indeed of-the struggle
καιρός, ἄνδρες συστρατιῶται, ἤδη πάρεστιν·
time men fellow-soldiers already is-present

19.2 αἰσθάνομαι γὰρ προσιόντας ἡμῖν τοὺς πολεμίους· τὰς δὲ
I-perceive for approaching us the enemies the and
ναῦς ὡς πορρωτάτω ἡμῶν ἡ τοῦ τόπου φύσις ἀπήνεγκε·
ships as farthest from-us the of-the place nature has-carried
περιέστηκε δὲ ἡμῖν ἡ τῆς σωτηρίας ἐλπὶς ἐν ταῖς χερσὶν
has-come-round and for-us the of-the safety hope in the hands
οὖσα.
being

19.3 οὐ γάρ ἐστιν οὐ πόλις φιλία, οὐκ ἄλλο οὐδὲν ὀχύρωμα,
not for there-is not (a)-city friendly not other no stronghold
ὅτῳ δὴ καὶ πιστεύσαντες τὸ θαρρεῖν ὑπὲρ ἡμῶν αὐτῶν
in-which indeed also trusting the confidence for us selves
ἕξομεν.
we-shall-have

19.4 ἀλλ’ εἰ μὲν ἄνδρες ἀγαθοὶ γενοίμεθα, εἰκὸς ἂν εἴη
but if indeed men good we-should-become likely — it-would-be
καὶ περιέσεσθαι ἡμᾶς τῷ πολέμῳ τῶν ἐναντίων· ἢν
also to-prevail us in-the war over-the opponents if
δέ τι μαλακιζοίμεθα, λελείψεται ἡμῖν ὑπὸ Βανδίλοις
but at-all we-should-be-soft it-will-be-left for-us under Vandals
γεγενημένοις αἰσχρῶς διεφθάρθαι.
having-come shamefully to-have-been-destroyed

19.5 καίτοι πολλὰ ἡμῖν ἐφόδια πρὸς τὴν νίκην ἐστί· τό τε
and-yet many for-us provisions toward the victory are the both
δίκαιον, μεθ’ οὗ πρὸς τοὺς δυσμενεῖς ἥκομεν (τὰ
justice with which against the enemies we-have-come the(-things)

γὰρ ἡμέτερα αὐτῶν κομιούμενοι πάρεσμεν), καὶ τὸ τῶν
for our own going-to-recover we-are-here and the of-the
Βανδίλων ἐς τὸν σφῶν αὐτῶν τύραννον ἔχθος.
Vandals toward the their own tyrant hatred
ἥ τε γὰρ τοῦ θεοῦ ξυμμαχία τοῖς τὰ δίκαια 19.6
the both for — of-God alliance to-the(-ones) the just(-things)
προτεινομένοις προσγίνεσθαι πέφυκε καὶ στρατιώτης
putting-forward to-come-to is-wont and (a)-soldier
τῷ κρατοῦντι δύσνους ἀνδραγαθίζεσθαι οὐκ ἐπίσταται.
to-the(-one) ruling ill-disposed to-play-the-brave-man not knows-how
χωρὶς δὲ τούτων ἡμεῖς μὲν Πέρσαις τε καὶ Σκύθαις 19.7
apart and from-these we indeed with-Persians both and Scythians
τὸν ἅπαντα ὡμιλήσαμεν χρόνον, οἱ δὲ Βανδίλοι, ἐξ
the whole consorted time the and Vandals since
ὅτου Λιβύης ἐκράτησαν, οὐδένα πολέμιον ὅτι μὴ γυμνοὺς
— Libya they-mastered no enemy except — naked
Μαυρουσίους τεθέανται.
Moors have-seen
τίς δὲ οὐκ οἶδεν ὡς ἔργου παντὸς μελέτη μὲν ἐς 19.8
who and not knows that of-work every practice indeed to
ἐμπειρίαν, ἀργία δὲ εἰς ἀμαθίαν φέρει; τὸ μὲν οὖν
experience idleness and to ignorance leads the indeed then
χαράκωμα, ὅθεν ἡμᾶς τὸν πόλεμον διαφέρειν δεήσει,
stockade whence us the war to-carry-on it-will-be-necessary
ὡς ἄριστα ἡμῖν πεποιῆσθαι ξυμβαίνει.
as best for-us to-have-been-made it-happens
πάρεστι δὲ ἡμῖν τά τε ὅπλα καὶ τὰ ἄλλα πάντα, 19.9
are-present and for-us the both arms and the other(-things) all
ὅσα φέρειν οὐχ οἷοί τε ἐσμέν, ἐνταῦθα καταθεμένοις
as-many-as to-carry not able — we-are here having-deposited

ἰέναι, καὶ ἀναστρέψαντας ἂν ἐνθάδε ἡμᾶς οὐδὲν τῶν
to-go and having-returned — here us nothing of-the
ἐπιτηδείων ἐπιλίποι.
provisions would-fail

19.10 εὔχομαι δὲ ὑμῶν ἕκαστον τῆς τε οἰκείας ἀρετῆς καὶ
I-pray and of-you each of-the both own valor and
τῶν κατὰ τὸν οἶκον ἀναμνησθέντα οὕτω δὴ
of-the(-things) at the home having-remembered thus indeed
καταφρονήματι ἐπὶ τοὺς πολεμίους χωρεῖν."
with-contempt against the enemies to-advance

19.11 Τοσαῦτα εἰπὼν Βελισάριος καὶ ἐπευξάμενος τήν τε
so-much having-said Belisarius and having-prayed the both
γυναῖκα καὶ τὸ χαράκωμα τοῖς πεζοῖς ἀπολιπὼν αὐτὸς
wife and the stockade to-the foot-soldiers having-left himself
μετὰ τῶν ἱππέων ἁπάντων ἐξήλασεν.
with the horsemen all rode-out

19.12 οὐ γάρ οἱ ἐφαίνετο ἐν τῷ παρόντι ξύμφορον εἶναι τῷ
not for to-him it-appeared in the present profitable to-be with-the
παντὶ διακινδυνεῦσαι στρατῷ, ἀλλὰ ξὺν τοῖς ἱππεῦσι πρῶτον
whole to-risk-all army but with the horsemen first
ἀκροβολισαμένῳ καὶ ἀποπειρασαμένῳ τῆς τῶν πολεμίων
having-skirmished and having-made-trial of-the of-the enemies
δυνάμεως οὕτω δὴ τῷ ὅλῳ στρατεύματι διαμάχεσθαι.
power thus indeed with-the whole army to-fight-it-out

19.13 στείλας οὖν ἔμπροσθεν τοὺς τῶν φοιδεράτων ἄρχοντας,
having-sent then ahead the of-the federates commanders
σὺν τῷ ἄλλῳ στρατῷ καὶ τοῖς οἰκείοις δορυφόροις τε
with the other army and the own guards both
καὶ ὑπασπισταῖς αὐτὸς εἵπετο.
and shield-bearers himself followed

ἐπεὶ δὲ οἱ φοιδερᾶτοι ξὺν τοῖς ἡγεμόσιν ἐγένοντο ἐν 19.14
when and the federates with the leaders came in
τῷ Δεκίμῳ, ὁρῶσι τοὺς τῶν πεπτωκότων νεκρούς,
— Decimum they-see the of-the(-ones) having-fallen corpses
δώδεκα μὲν ἑταίρους τῶν μετὰ Ἰωάννου, πλησίον
twelve indeed comrades of-the(-men) with John near
δὲ αὐτῶν Ἀμμάταν καὶ Βανδίλων τινάς.
and them Ammatas and of-Vandals some
παρὰ δὲ τῶν ταύτῃ ᾠκημένων τὸν πάντα λόγον 19.15
from and the(-people) there dwelling the whole account
ἀκούσαντες ἤσχαλλον, ἀπορούμενοι ὅπη αὐτοῖς χωρητέα
having-heard they-were-distressed being-at-a-loss where for-them must-advance
εἴη. ἔτι δὲ αὐτῶν ἀπορουμένων καὶ ἀπὸ τῶν λόφων
it-was still and them being-at-a-loss and from the hills
ἅπαντα περισκοπουμένων τὰ ἐκείνῃ χωρία, κονιορτός τε
all surveying the there places dust both
ἀπὸ μεσημβρίας ἐφαίνετο καὶ μικρὸν ὕστερον Βανδίλων
from (the)-south appeared and little later of-Vandals
ἱππέων πάμπολυ χρῆμα.
horsemen very-great amount
καὶ πέμπουσι μὲν πρὸς Βελισάριον, ὡς τάχιστα ἥκειν 19.16
and they-send indeed to Belisarius as quickly(-as-possible) to-come
αἰτοῦντες, ἅτε δὴ σφίσιν ἐγκειμένων τῶν πολεμίων. τῶν
asking as indeed upon-them pressing the enemies of-the
δὲ ἀρχόντων αἱ γνῶμαι δίχα ἐφέροντο.
and commanders the opinions in-two were-carried
οἱ μὲν γὰρ ἠξίουν τοῖς ἐπιοῦσιν ὁμόσε ἰέναι, 19.17
the(-ones) indeed for thought-fit with-the(-ones) attacking to-close to-go
οἱ δὲ οὐκ ἀξιόχρεων σφίσιν ἐς τοῦτο ἔφασκον εἶναι
the(-ones) and not sufficient for-them for this said to-be
τὴν δύναμιν.
the power

19.18 ταῦτα δὲ αὐτοῖς ἐς ἀλλήλους διαφιλονεικοῦσιν οἱ
these(-things) and them with one-another disputing the
βάρβαροι ἀγχοῦ ἐγένοντο ἡγουμένου αὐτοῖς Γελίμερος καὶ
barbarians near came leading them Gelimer and
ὁδῷ χρησαμένου μεταξὺ ἥς τε Βελισάριος εἶχε καὶ
road using between the(-one) both Belisarius held and
ἥς οἱ Μασσαγέται ἦκον οἱ Γιβαμούνδῳ ξυμμίξαντες.
the(-one) the Massagetae came the(-ones) with-Gibamund having-engaged
19.19 λοφώδεις δὲ χῶροι ἐφ᾽ ἑκάτερα ὄντες οὔτε τὸ Γιβαμούνδου
hilly and places on each(-side) being neither the of-Gibamund
πάθος ἰδεῖν οὔτε τὸ Βελισαρίου χαράκωμα ξυνεχώρησαν, οὐ
disaster to-see nor the of-Belisarius stockade permitted not
μὴν οὐδὲ τὴν ὁδόν, ἣν οἱ ἀμφὶ Βελισάριον ἐπορεύοντο.
indeed not-even the road which the(-men) with Belisarius were-marching
19.20 ἐπεὶ δὲ ἀγχοῦ ἀλλήλων γεγόνασιν, ἔρις τῇ στρατιᾷ
when and near one-another they-came strife on-the army
ἑκατέρᾳ ἐνέπεσεν, ὁπότεροι τοῦ πάντων ὑψηλοτάτου
each fell which-of-the-two the of-all highest
τῶν ἐκείνῃ λόφων κρατήσουσιν.
of-the there hills will-master
19.21 ἐδόκει γὰρ ἐνστρατοπεδεύσασθαι ἐπιτήδειος εἶναι, καὶ αὐτοὶ
it-seemed for to-encamp-on suitable to-be and they
ἑκάτεροι ἐνθένδε ᾑροῦντο τοῖς πολεμίοις εἰς χεῖρας ἰέναι.
each(-side) from-there chose with-the enemies to hands to-go
19.22 προτερήσαντες δὲ οἱ Βανδίλοι τόν τε λόφον
having-anticipated and the Vandals the both hill
καταλαμβάνουσιν ὠθισμῷ χρησάμενοι καὶ τρέπονται
seize by-shoving using and turn
τοὺς πολεμίους, ἤδη φοβεροὶ αὐτοῖς γεγονότες.
the enemies already terrible to-them having-become

φεύγοντες δὲ Ῥωμαῖοι ἐς χωρίον ἀφικνοῦνται σταδίους 19.23
fleeing and Romans to (a)-place come stades
ἑπτὰ τοῦ Δεκίμου ἀπέχον, ἔνθα δὴ Οὐλίαριν τὸν
seven — from-Decimum distant where indeed Uliaris the
Βελισαρίου δορυφόρον ξὺν ὑπασπισταῖς ὀκτακοσίοις
of-Belisarius guard with shield-bearers eight-hundred
τετύχηκεν εἶναι.
happened to-be
πάντες τε ᾤοντο ὡς σφᾶς οἱ ἀμφὶ τὸν Οὐλίαριν 19.24
all both thought that them the(-men) with — Uliaris
δεξάμενοι στήσονταί τε καὶ ξὺν αὐτοῖς ὁμόσε ἐπὶ τοὺς
having-received would-stand both and with them to-close against the
Βανδίλους χωρήσουσιν· ἀλλ᾽ ἐπεὶ ἅμα ἐγένοντο, παρὰ
Vandals would-advance but when together they-came contrary-to
δόξαν ἤδη ξύμπαντες ἀνὰ κράτος τε ἔφευγον καὶ
expectation already all at full-speed both fled and
δρόμῳ τὴν ἐπὶ Βελισάριον ἴεσαν.
at-a-run the(-road) toward Belisarius went
Ἐνθένδε οὐκ ἔχω εἰπεῖν ὅ τί ποτε παθὼν Γελίμερ, ἐν 19.25
from-there not I-am-able to-say what thing ever having-suffered Gelimer in
ταῖς χερσὶν ἔχων τὸ τοῦ πολέμου κράτος, ἐθελούσιος αὐτὸ
the hands holding the of-the war victory willingly it
τοῖς πολεμίοις μεθῆκε, πλὴν εἰ μὴ ἐς τὸν θεὸν καὶ τὰ τῆς
to-the enemies let-go except if not to — God also the(-things) of-the
ἀβουλίας ἀναφέρειν δεήσει, ὅς, ἡνίκα τι ἀνθρώπῳ
folly to-refer it-will-be-necessary who when anything to-(a)-man
συμβῆναι βουλεύηται φλαῦρον, τῶν λογισμῶν ἁψάμενος
to-befall plans bad of-the reasonings having-laid-hold
πρῶτον οὐκ ἐᾷ τὰ ξυνοίσοντα ἐς βουλὴν ἔρχεσθαι.
first not allows the(-things) going-to-profit into counsel to-come

19.26 εἴτε γὰρ τὴν δίωξιν εὐθυωρὸν ἐποιήσατο, οὐδ' ἂν αὐτὸν
whether for the pursuit straightway he-had-made not-even — him
ὑποστῆναι Βελισάριον οἶμαι, ἀλλ' ἄρδην ἅπαντα ἡμῖν
to-withstand Belisarius I-think but utterly all for-us
διαφθαρῆναι τὰ πράγματα·
to-have-been-ruined the affairs

19.27 τοσοῦτον δὴ τό τε τῶν Βανδίλων πλῆθος τό τε αὐτῶν
so-great indeed the both of-the Vandals multitude the both their
κατὰ Ῥωμαίων δέος ἐφαίνετο· εἴτε καὶ Καρχηδόνος εὐθὺ
against Romans fear appeared or also for-Carthage straight
ἤλασε, τούς τε σὺν Ἰωάννῃ εὐπετῶς ἂν ἅπαντας
he-had-ridden the(-men) both with John easily — all
ἔκτεινεν, οἵ γε κατὰ ἕνα καὶ δύο ἀφροντιστήσαντές
would-have-killed who at-least by one and two having-become-careless
τε καὶ περιπάτους ἐν τῷ πεδίῳ ποιούμενοι τοὺς
both and strolls in the plain making the(-men)
κειμένους ἐσύλων.
lying were-despoiling

19.28 καὶ τὴν πόλιν ξὺν τοῖς χρήμασι διασωσάμενος τῶν τε
and the city with the treasures having-saved the both
ἡμετέρων νεῶν οὐ πόρρω ἀφικομένων ἐκράτει καὶ
our ships not far having-arrived would-have-mastered and
ὅλην ἡμῖν ἀνέστελλε τοῦ τε ἀπόπλου καὶ τῆς νίκης
whole for-us would-have-cut-off of-the both sailing-home and of-the victory
ἐλπίδα. ἀλλὰ γὰρ ἔπραξε τούτων οὐδέτερα.
hope but for he-did of-these neither

19.29 βάδην δὲ κατιὼν ἐκ τοῦ λόφου, ἐπεὶ ἐν τῷ ὁμαλεῖ ἐγένετο
step-by-step and coming-down from the hill when on the level he-came
καὶ τἀδελφοῦ τὸν νεκρὸν εἶδεν, ἔς τε ὀλοφύρσεις ἐτράπετο
and of-the-brother the corpse saw to both lamentations he-turned

καὶ τῆς ταφῆς ἐπιμελούμενος οὕτω δὴ τοῦ καιροῦ τὴν
and of-the burial taking-care thus indeed of-the opportunity the
ἀκμὴν ἤμβλυνεν, ἧς γε οὐκέτι ἀντιλαβέσθαι ἐδύνατο.
edge he-blunted which at-least no-longer to-recover he-was-able
τοῖς δὲ φεύγουσι Βελισάριος ἀπαντήσας στῆναι κελεύει, 19.30
to-the(-ones) and fleeing Belisarius having-met to-stop orders
κοσμίως τε ἅπαντας διατάξας καὶ πολλὰ ὀνειδίσας, ἐπειδὴ
in-order both all having-arrayed and much having-reproached when
τήν τε Ἀμμάτα τελευτὴν καὶ τὴν Ἰωάννου δίωξιν ἤκουσε
the both of-Ammatas death and the of-John pursuit he-heard
καὶ περὶ τοῦ χωρίου καὶ τῶν πολεμίων ἐπύθετο ὅσα
and about the place and the enemies learned as-much-as
ἐβούλετο, δρόμῳ ἐπὶ Γελίμερά τε καὶ Βανδίλους ἐχώρει.
he-wished at-a-run against Gelimer both and Vandals advanced
οἱ δὲ βάρβαροι ἄτακτοί τε καὶ ἀπαράσκευοι ἤδη 19.31
the and barbarians disordered both and unprepared already
γεγονότες ἐπιόντας αὐτοὺς οὐχ ὑπέμειναν, ἀλλὰ φεύγουσιν
having-become attacking them not withstood but flee
ἀνὰ κράτος, πολλοὺς ἐνταῦθα ἀποβαλόντες, καὶ ἡ μάχη
at full-speed many there having-lost and the battle
ἐτελεύτα ἐς νύκτα.
ended in night
ἔφευγον δὲ οἱ Βανδίλοι οὐκ ἐς Καρχηδόνα οὐδὲ ἐς 19.32
fled and the Vandals not to Carthage nor to
Βυζάκιον, ὅθενπερ ἦκον, ἀλλ' ἐπὶ τὸ Βούλλης πεδίον
Byzacium whence-very they-had-come but to the of-Bulla plain
καὶ τὴν εἰς Νουμίδας ὁδὸν φέρουσαν.
and the to Numidians road leading
οἱ μὲν οὖν ἀμφὶ τὸν Ἰωάννην καὶ οἱ Μασσαγέται 19.33
the(-men) indeed then with — John and the Massagetae
περὶ λύχνων ἁφὰς εἰς ἡμᾶς ἀναστρέψαντες καὶ ἅπαντα
about of-lamps lighting to us having-returned and all

τὰ ξυμβεβηκότα μαθόντες τε καὶ ἀναγγείλαντες σὺν
the(-things) having-happened having-learned both and having-reported with
ἡμῖν ἐν Δεκίμῳ διενυκτέρευσαν.
us in Decimum passed-the-night

IX · CARTHAGE ENTERED

The fleet rounds the headland; the keeper of the Ancon frees the merchants Gelimer jailed, and Calonymus plunders the shore. Belisarius enters Carthage in order, the soldiers buying what they need, and eats the meal laid for Gelimer; an old riddle of gamma and beta comes true. The orthodox retake Cyprian's church. Procopius tells of an old Vandal's warning against yielding the homeland, and of Gizeric killing Zacynthians.

20.1 Τῇ δὲ ὑστεραίᾳ τῶν πεζῶν ἅμα τῇ Βελισαρίου
on-the and next-day the foot-soldiers together-with the of-Belisarius
γυναικὶ παραγενομένων ξύμπαντες τὴν ἐπὶ Καρχηδόνα
wife having-arrived all the(-road) to Carthage
ἐπορευόμεθα, ἔνθα δὴ περὶ δείλην ὀψίαν ἥκοντες
marched where indeed about evening late having-come
ηὐλισάμεθα, καίτοι ἐκώλυεν οὐδεὶς ἐς τὴν πόλιν αὐτίκα
we-bivouacked and-yet hindered no-one into the city at-once
ἐσελάσαι. οἵ τε γὰρ Καρχηδόνιοι τὰς πύλας ἀνακλίναντες
to-ride the both for Carthaginians the gates having-thrown-open
λύχνα ἔκαιον πανδημεὶ καὶ ἡ πόλις κατελάμπετο
lamps lit all-the-people-together and the city was-lit-up
τῷ πυρὶ τὴν νύκτα ὅλην ἐκείνην, καὶ τῶν Βανδίλων
with-the fire the night whole that and of-the Vandals
οἱ ἀπολελειμμένοι ἐν τοῖς ἱεροῖς ἱκέται ἐκάθηντο.
the(-ones) left-behind in the sanctuaries (as)-suppliants sat

ἀλλὰ Βελισάριος διεκώλυσε τοῦ μήτε ἐνέδραν σφίσι πρὸς 20.2
but Belisarius prevented(-it) for-the neither (an)-ambush for-them from
τῶν πολεμίων γενέσθαι μήτε τοῖς στρατιώταις ἄδειαν
the enemies to-arise nor for-the soldiers license
εἶναι ἅτε ἐν νυκτὶ λανθάνουσιν, ἐς ἁρπαγὴν τραπέσθαι.
to-be as at night escaping-notice to plunder to-turn
ταύτῃ τε τῇ ἡμέρᾳ αἱ νῆες, εὖρου σφίσιν ἀνέμου 20.3
on-this and the day the ships Eurus for-them wind
ἐπιπεσόντος, ἐς τὴν ἄκραν ἀφίκοντο. καὶ οἱ
having-fallen-upon(-them) to the headland came and the
Καρχηδόνιοι, ἤδη γὰρ αὐτὰς καθεώρων, τὰς σιδηρᾶς
Carthaginians already for them they-saw the iron
ἁλύσεις τοῦ λιμένος, ὃν δὴ Μανδράκιον καλοῦσιν,
chains of-the harbor which indeed Mandracium they-call
ἀφελόμενοι, εἰσιτητὰ τῷ στόλῳ ἐποίουν.
having-removed accessible for-the fleet made(-it)
ἔστι δὲ ἐν τῇ βασιλέως αὐλῇ οἴκημα σκότους ἀνάπλεων, 20.4
there-is and in the of-(the)-king court (a)-chamber of-darkness full
ὃ δὴ Ἀγκῶνα καλοῦσιν οἱ Καρχηδόνιοι, ἔνθα
which indeed Ancon call the Carthaginians where
ἐνεβάλλοντο ἅπαντες οἷς ἂν χαλεπαίνοι ὁ τύραννος.
were-thrown all with-whom — might-be-angry the tyrant
ἐνταῦθα καθειργμένοι ἐτύγχανον πολλοὶ τῶν ἑῴων 20.5
there shut-in happened(-to-be) many of-the eastern
ἐμπόρων ἐς ἐκεῖνο τοῦ χρόνου.
merchants at that of-the time
τούτοις γὰρ δὴ ὁ Γελίμερ χαλεπῶς εἶχεν, ἐπικαλῶν 20.6
with-these for indeed — Gelimer harshly was-disposed charging
ὡς δὴ αὐτοὶ βασιλέα ἐς τὸν πόλεμον ἐναγάγοιεν,
that indeed they (the)-emperor into the war had-brought-in
ἔμελλόν τε διαφθαρῆναι πάντες, δόξαν τοῦτο
were-about both to-be-destroyed all having-seemed(-good) this

Γελίμερι ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ Ἀμμάτας ἐν Δεκίμῳ
to-Gelimer on-that the day on-which Ammatas in Decimum
ἀπέθανε· παρὰ τοσοῦτον κινδύνου ἦλθον.
died within so-much of-danger they-came

20.7 τούτου ὁ φύλαξ τοῦ δεσμωτηρίου, ἐπεὶ τά τε ἐν
of-this the keeper of-the prison when the(-things) both in
Δεκίμῳ πραχθέντα ἤκουσε καὶ τὸν στόλον εἶδε τῆς ἄκρας
Decimum done he-heard and the fleet saw of-the headland
ἐντός, ἐσελθὼν ἐς τὸ οἴκημα πυνθάνεται τῶν ἀνδρῶν,
within having-gone into the chamber inquires of-the men
οὔπω τἀγαθὰ πεπυσμένων, ἀλλ' ἐν τῷ σκότῳ καθημένων
not-yet the-good-news having-learned but in the darkness sitting
καὶ καραδοκούντων τὸν θάνατον, τί ποτε ἄρα βουλομένοις
and awaiting the death what ever then wishing
ἂν αὐτοῖς εἴη τῶν ὑπαρχόντων προεμένοις σεσῶσθαι.
— to-them it-might-be of-the possessions having-given-up to-be-saved

20.8 τῶν δὲ ἅπαντα αἱρουμένων διδόναι ἃ βούλοιτο, ἄλλο
they and all choosing to-give what he-might-wish other(-thing)
μὲν οὐδὲν ᾔτει τῶν πάντων χρημάτων, ἠξίου δὲ
indeed nothing he-asked of-the all money he-thought-fit but
ἅπαντας ὀμνύναι ὡς, ἢν διαφύγοιεν, καὶ αὐτῷ ἐν κινδύνοις
all to-swear that if they-escaped also him in dangers
γενησομένῳ ξυλλήψονται ὅση δύναμις. οἱ μὲν οὖν
going-to-be they-will-help with-what power they indeed then
κατὰ ταῦτα ἐποίουν.
according-to these(-things) did

20.9 ὁ δὲ τόν τε λόγον ἅπαντα ἔφραζε καὶ σανίδα ἐκ τοῦ
he and the both account whole told and (a)-plank from the
πρὸς θάλασσαν ἀφελὼν μέρους προσιόντα τὸν στόλον
toward (the)-sea having-removed part approaching the fleet
ἐπέδειξε, τῆς τε εἱρκτῆς ἀφεὶς ἅπαντας ξὺν αὐτοῖς ᾔει.
showed of-the both prison having-released all with them went

Οἱ δὲ ἐν ταῖς ναυσὶν ὄντες, οὔπω τι ἀκηκοότες ὧν 20.10
the(-men) and on the ships being not-yet anything having-heard of-what
ἐν τῇ γῇ ὁ στρατὸς ἔδρασε, διηποροῦντο, καὶ τὰ ἱστία
on the land the army did were-at-a-loss and the sails
χαλάσαντες ἔς τε τὸ Μερκούριον πέμψαντες τὰ ἐν
having-lowered to both — Mercurium having-sent the(-things) in
Δεκίμῳ πραχθέντα ἔμαθον, καὶ περιχαρεῖς γενόμενοι ἔπλεον.
Decimum done learned and overjoyed having-become sailed
ἐπεὶ δὲ τοῦ πνεύματος σφίσιν ἐπιφόρου ὄντος ἀπὸ σταδίων 20.11
when and the wind for-them favorable being from stades
πεντήκοντα καὶ ἑκατὸν Καρχηδόνος ἐγένοντο, Ἀρχέλαος
fifty and hundred from-Carthage they-were Archelaus
μὲν καὶ οἱ στρατιῶται αὐτοῦ ὁρμίσασθαι ἐκέλευον, τὴν τοῦ
indeed and the soldiers his to-anchor bade the of-the
στρατηγοῦ δεδιότες πρόρρησιν, οἱ δὲ ναῦται οὐκ ἐπείθοντο.
general fearing order the and sailors not obeyed
τήν τε γὰρ ἐκείνῃ ἀκτὴν ἀλίμενον εἶναι ἔφασκον καὶ 20.12
the both for there shore harborless to-be they-said and
χειμῶνα ἐπίσημον αὐτίκα μάλα γενήσεσθαι ἐπίδοξον εἶναι,
(a)-storm notable at-once very to-arise expected to-be
ὃν δὴ οἱ ἐπιχώριοι Κυπριανὰ καλοῦσι.
which indeed the natives Cypriana call
προὔλεγόν τε ὡς, εἰ ἐνταῦθα σφίσιν ἐπιγένηται, οὐδ' ἂν 20.13
they-foretold both that if there on-them it-should-come not-even —
τῶν νεῶν μίαν διασώσασθαι δυνατοὶ εἶεν. καὶ ἦν
of-the ships one to-save able they-would-be and it-was
δὲ οὕτως.
too so
ἐν βραχεῖ οὖν τά τε ἱστία χαλάσαντες καὶ βουλευσάμενοι 20.14
in short then the both sails having-lowered and having-deliberated
τοῦ μὲν Μανδρακίου πειράσασθαι οὐκ
— indeed Mandracium to-attempt not

20.15 ᾠοντο χρῆναι (τάς τε γὰρ Βελισαρίου ἐντολὰς
they-thought it-to-be-needful the both for of-Belisarius instructions
ὑπεστέλλοντο καὶ ἅμα τὴν ἐς τὸ Μανδράκιον
they-shrank-from and at-the-same-time the to — Mandracium
εἴσοδον ταῖς ἁλύσεσιν ἀποκεκλεῖσθαι ὑπώπτευον, ἄλλως
entrance by-the chains to-have-been-closed they-suspected especially
τε καὶ τῷ παντὶ στόλῳ τὸν λιμένα ἐκεῖνον οὐχ ἱκανὸν
— also for-the whole fleet the harbor that not sufficient
εἶναι), τὸ δὲ Στάγνον σφίσιν ἐφαίνετο ἐν καλῷ
to-be — and Stagnum to-them appeared in good(-position)
κεῖσθαι (μέτρῳ γὰρ σταδίων τεσσαράκοντα Καρχηδόνος
to-lie by-(a)-measure for of-stades forty from-Carthage
διέχει) ἐμπόδιόν τε οὐδὲν ἐν αὐτῷ εἶναι καὶ πρὸς τὸν
it-is-distant obstacle both none in it to-be and for the
στόλον ἅπαντα ἱκανῶς πεφυκέναι.
fleet all sufficiently to-be-suited

20.16 ἔνθα δὴ ἀφικόμενοι περὶ λύχνων ἁφὰς ὡρμίσαντο πάντες,
there indeed having-arrived about of-lamps lighting anchored all
πλήν γε δὴ ὅτι Καλώνυμος ἅμα τῶν ναυτῶν
except at-least indeed that Calonymus together-with of-the sailors
τισι, τοῦ τε στρατηγοῦ ἀφροντιστήσας καὶ τῶν ἄλλων
some of-the both general having-taken-no-thought and of-the other
πάντων ἔς τε τὸ Μανδράκιον λάθρα ἀπέβη, οὐδενὸς
all to both — Mandracium secretly landed no-one
κωλῦσαι τολμήσαντος, καὶ χρήματα τῶν ἐπὶ θαλάσσῃ
to-prevent(-it) having-dared and goods of-the by (the)-sea
ᾠκημένων ἐμπόρων ξένων τε καὶ Καρχηδονίων διήρπασε.
dwelling merchants foreign both and Carthaginian plundered

20.17 Τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ Βελισάριος τούς τε ἐν
on-the and following day Belisarius the(-men) both in
ταῖς ναυσὶ τὴν ἀπόβασιν ἐκέλευε ποιεῖσθαι καὶ ὅλον
the ships the landing ordered to-make and whole

διακοσμήσας τὸ στράτευμα διατάξας τε ὡς ἐς μάχην
having-arranged the army having-drawn-up both as for battle
ἐπὶ Καρχηδόνα ἐσήλαυνεν· ἐδεδίει γὰρ μή τίς οἱ
against Carthage he-rode he-feared for lest some to-him
ἐνέδρα πρὸς τῶν πολεμίων ὑπαντιάσῃ.
ambush from the enemies should-meet
ἔνθα δὴ πολλὰ μὲν τοὺς στρατιώτας ὑπέμνησεν, ἡλίκα 20.18
there indeed much indeed the soldiers he-reminded how-great
σφίσιν εὐτυχήματα γένοιτο, ἐπειδὴ σωφροσύνην ἐς
to-them good-fortunes had-come since self-control toward
Λίβυας ἐπεδείξαντο, πολλὰ δὲ παρήνεσε τὴν εὐκοσμίαν
Libyans they-had-shown much and he-exhorted the good-order
ἐν Καρχηδόνι ὡς μάλιστα διασώσασθαι.
in Carthage as most to-preserve
Λίβυας γὰρ ἅπαντας Ῥωμαίους τὸ ἀνέκαθεν ὄντας 20.19
Libyans for all Romans the from-of-old being
γενέσθαι τε ὑπὸ Βανδίλοις οὔτι ἐθελουσίους καὶ πολλὰ
to-have-become both under Vandals not-at-all willing and much
πεπονθέναι πρὸς ἀνδρῶν βαρβάρων ἀνόσια.
to-have-suffered from men barbarian unholy(-things)
διὸ δὴ καὶ βασιλέα ἐς πόλεμον καταστῆναι Βανδίλοις, 20.20
wherefore indeed also (the)-emperor into war to-have-entered against-Vandals
εἶναί τε οὐχ ὅσιον ξυμβῆναί τι πρὸς αὐτῶν ἄχαρι
to-be both not holy to-befall anything from them unpleasant
ἐς ἀνθρώπους, ὧν τὴν ἐλευθερίαν ὑπόθεσιν ποιησάμενοι
to men whose the freedom (the)-pretext having-made
ἐπὶ Βανδίλους ἐστράτευσαν.
against Vandals they-had-marched

20.21 τοσαῦτα παραινέσας ἔς τε Καρχηδόνα εἰσῆλθε καί, ἐπεὶ
so-much having-exhorted into both Carthage he-entered and when
πολέμιον σφίσιν οὐδὲν ἐφαίνετο, ἐς τὸ Παλάτιον ἀναβὰς
hostile to-them nothing appeared to the Palatium having-gone-up
ἐν τῷ Γελίμερος θρόνῳ ἐκάθισεν.
on the of-Gelimer throne he-sat

20.22 ἐνταῦθα ἐντυχόντες πολλῇ κραυγῇ Βελισαρίῳ ἐμπόρων τε
there having-met with-much shouting Belisarius of-merchants both
πλῆθος καὶ ἄλλοι Καρχηδόνιοι, ὅσοις ἐπιθαλάσσια τὰ οἰκία
(a)-multitude and other Carthaginians whose by-the-sea the houses
τετύχηκεν εἶναι, ᾐτιῶντο ἁρπαγὴν σφίσι τῶν ὑπαρχόντων
happened to-be complained (a)-plundering for-them of-the possessions
τῇ προλαβούσῃ νυκτὶ πρὸς τῶν ναυτῶν ξυμβῆναι.
in-the preceding night by the sailors to-have-befallen

20.23 ὁ δὲ Καλώνυμον ὅρκοις καταλαμβάνει ἦ μὴν ἅπαντα
he and Calonymus by-oaths binds verily indeed all
ἐς τὸ ἐμφανὲς ἐνεγκεῖν τὰ φώρια.
into the open to-bring the stolen-goods

20.24 Καλώνυμος δὲ ὀμόσας τε καὶ τὰ ὀμωμοσμένα ἐν
Calonymus and having-sworn both and the(-things) sworn in
ἀλογίᾳ ποιησάμενος τὸ μὲν παραυτίκα τὰ χρήματα
disregard having-made for-the indeed present the money
ἐληίσατο, χρόνῳ δὲ οὐ πολλῷ ὕστερον τὴν δίκην ἔτισεν
plundered in-time but not much later the penalty paid
ἐς Βυζάντιον.
in Byzantium

20.25 νόσῳ γὰρ ἁλοὺς τῇ καλουμένῃ ἀποπληξίᾳ καὶ τῶν φρενῶν
by-disease for seized the called apoplexy and of-the wits
ἔξω γενόμενος τῆς τε γλώσσης ἀποτραγὼν τῆς αὑτοῦ, εἶτα
out having-become the both tongue having-bitten-off the his-own then
ἀπέθανεν. ἀλλὰ ταῦτα μὲν χρόνῳ τῷ ὑστέρῳ ἐγένετο.
died but these(-things) indeed in-time the later happened

Τότε δὲ Βελισάριος, ἐπεὶ ὁ καιρὸς ἐς τοῦτο ἦγεν, ἄριστον 21.1
then and Belisarius since the time to this led breakfast
σφίσιν ἐκέλευε γενέσθαι, οὗ δὴ Γελίμερ τοὺς τῶν
for-them he-ordered to-be(-prepared) where indeed Gelimer the of-the
Βανδίλων ἡγουμένους ἑστιᾶν εἰώθει.
Vandals leaders to-feast was-wont
Δέλφικα τὸν τόπον καλοῦσι Ῥωμαῖοι, οὐ τῇ σφετέρᾳ 21.2
Delphix the place call Romans not in-the their-own
γλώσσῃ, ἀλλὰ κατὰ τὸ παλαιὸν ἑλληνίζοντες. ἐν
tongue but according-to the old(-way) speaking-Greek in
Παλατίῳ γὰρ τῷ ἐπὶ Ῥώμης, ἔνθα ξυνέβαινε στιβάδας
(the)-Palatium for the(-one) in Rome where it-happened couches
τὰς βασιλέως εἶναι, τρίπους ἐκ παλαιοῦ εἱστήκει, ἐφ᾽
the of-(the)-emperor to-be (a)-tripod from old had-stood on
οὗ δὴ τὰς κύλικας οἱ βασιλέως οἰνοχόοι ἐτίθεντο.
which indeed the cups the of-(the)-emperor wine-pourers placed
Δέλφικα δὲ τὸν τρίποδα καλοῦσι Ῥωμαῖοι, ἐπεὶ πρῶτον 21.3
Delphix and the tripod call Romans since first
ἐν Δελφοῖς γέγονε, καὶ ἀπ᾽ αὐτοῦ ἔν τε Βυζαντίῳ
at Delphi it-was-made and from that in both Byzantium
καὶ ὅπη βασιλέως εἶναι στιβάδα ξυμβαίνει Δέλφικα
and wherever of-(the)-emperor to-be (a)-couch it-happens Delphix
τοῦτο καλοῦσι τὸ οἴκημα, ἐπεὶ καὶ τὰ βασιλέως οἰκία
this they-call the chamber since also the of-(the)-emperor residence
Παλάτιον ἑλληνίζοντες καλοῦσι Ῥωμαῖοι.
Palatium speaking-Greek call Romans
Πάλλαντος γὰρ ἀνδρὸς Ἕλληνος ἐν τούτῳ τῷ χωρίῳ 21.4
Pallas for (a)-man Greek in this the place
οἰκήσαντος πρὸ Ἰλίου ἁλώσεως οἰκίαν τε λόγου ἀξίαν
having-dwelt before of-Ilium (the)-capture (a)-house both of-account worthy
ἐνταῦθα δειμαμένου, Παλάτιον μὲν τὸ οἴκημα τοῦτο
there having-built Palatium indeed the building this

ἐκάλουν, ἐπεὶ δὲ τὴν αὐτοκράτορα παραλαβὼν ἀρχὴν
they-called when and the autocratic having-taken-over rule
Αὔγουστος ἐνταῦθα καταλύειν τὸ πρῶτον ἔγνω, Παλάτιον
Augustus there to-lodge the first(-time) decided Palatium
ἀπ᾽ αὐτοῦ καλοῦσι τὸ χωρίον οὗ ἂν βασιλεὺς καταλύῃ.
from him they-call the place where — (the)-emperor lodges

21.5 ἐν Δέλφικι τοίνυν Βελισάριός τε ἤσθιε καὶ εἴ τι ἐν
in Delphix therefore Belisarius both ate and if anything in
τῷ στρατεύματι δόκιμον ἦν.
the army notable was

21.6 τετύχηκε δὲ τὸ τῇ προτεραίᾳ τῷ Γελίμερι γεγονὸς
it-happened and the on-the day-before — for-Gelimer made
ἄριστον ἐν παρασκευῇ εἶναι. καὶ ταῖς τε βρώσεσιν αὐταῖς
breakfast in readiness to-be and on-the both foods themselves
εἱστιάθημεν ἥ τε τοῦ Γελίμερος θεραπεία παρετίθει τε
we-feasted the both — of-Gelimer retinue served both
καὶ ᾠνοχόει καὶ τὰ ἄλλα ὑπούργει.
and poured-wine and the other(-things) attended-to

21.7 παρῆν τε ἰδεῖν ὡραϊζομένην τὴν τύχην καὶ ποιουμένην
it-was-possible both to-see beautifying-herself the fortune and making
ἐπίδειξιν, ὡς ἅπαντά τε αὐτῆς εἴη καὶ οὐδὲν ἀνθρώπῳ
(a)-display that all(-things) both hers were and nothing for-man
ἴδιον γένοιτο.
own would-be

21.8 Βελισαρίῳ δὲ ξυνηνέχθη ἐκείνῃ τῇ ἡμέρᾳ εὐδοκιμῆσαι ὡς
for-Belisarius and it-befell that the day to-win-renown as
οὔτε τῶν κατ᾽ αὐτὸν οὐδενὶ πώποτε οὔτε τῳ ἄλλῳ
neither of-the(-men) in his-time to-anyone ever nor to-any other
τῶν ἐκ παλαιοῦ γεγονότων τετύχηκε.
of-the(-men) from old having-been it-has-happened

τῶν γὰρ δὴ Ῥωμαίων στρατιωτῶν οὐκ εἰωθότων θορύβου 21.9
the for indeed Roman soldiers not being-accustomed confusion
χωρὶς ἐς πόλιν κατήκοον σφίσιν οὐδ᾽ ἂν κατὰ πεντακοσίους
without into (a)-city subject to-them not-even — by five-hundred
εἶεν ἄλλως τε καὶ ἐκ τοῦ ἀπροσδοκήτου ἰέναι, οὕτω δὴ
they-were especially — also from the unexpected to-go so indeed
κοσμίους ἅπαντας ὁ στρατηγὸς οὗτος τοὺς ἀρχομένους
orderly all the general this the(-men) commanded
παρέσχετο ὥστε οὐδὲ ὕβριν τινὰ ἢ ἀπειλὴν γενέσθαι,
kept that not-even outrage any or threat to-happen
οὐ μὴν οὐδέ τι ἐμπόδισμα τῇ κατὰ τὴν πόλιν ἐργασίᾳ 21.10
not indeed not-even any hindrance to-the in the city work
ξυνέβη, ἀλλ᾽ ἐν ἁλούσῃ πόλει καὶ πολιτείαν μεταβαλούσῃ
befell but in (a)-captured city and government having-changed
καὶ βασιλείαν ἀλλαξαμένῃ οὐδὲ τῶν ἀπὸ τῆς ἀγορᾶς
and kingdom having-exchanged not-even of-the(-men) of the market
ξυνέβη τινὸς τὴν οἰκίαν ἀποκεκλεῖσθαι, ἀλλ᾽ οἱ γραμματεῖς
it-befell anyone the house to-have-been-shut but the clerks
τὰ βιβλίδια γράψαντες τοὺς στρατιώτας, ὥσπερ εἰώθει,
the lists having-written the soldiers as-very was-customary
ἐς τὰς οἰκίας εἰσήγαγον, αὐτοί τε ὤνιον ἀπὸ τῆς ἀγορᾶς
into the houses brought-in they both bought from the market
τὸ ἄριστον λαβόντες ὡς ἑκάστῳ ἦν βουλομένῳ ἡσύχαζον.
the breakfast having-taken as for-each it-was wishing kept-quiet
Μετὰ δὲ Βελισάριος Βανδίλοις τε τοῖς ἐς τὰ ἱερὰ 21.11
after and Belisarius to-Vandals both the(-ones) to the sanctuaries
καταφυγοῦσι πιστὰ ἐδίδου καὶ τῶν τειχῶν ἐπεμελεῖτο. ἦν
having-fled pledges gave and of-the walls took-care was
γὰρ ὁ Καρχηδόνος περίβολος οὕτω δὴ ἀπημελημένος
for the of-Carthage circuit-wall so indeed neglected

ὥστε ἐσβατὸς ἐν χώροις πολλοῖς τῷ βουλομένῳ καὶ
that accessible in places many for-the(-one) wishing and
εὐέφοδος ἐγεγόνει.
easy-to-attack it-had-become

21.12 μοῖρα γὰρ οὐκ ὀλίγη αὐτοῦ κατεπεπτώκει καὶ διὰ
portion for not small of-it had-fallen-down and because-of
τοῦτο Γελίμερα οἱ Καρχηδόνιοι ἔφασκον ἐν τῇ πόλει οὐχ
this Gelimer the Carthaginians said in the city not
ὑποστῆναι.
to-have-made-a-stand

21.13 οὐ γὰρ ἄν ποτε οἴεσθαι χρόνῳ ὀλίγῳ οἷόν τε εἶναι τῷ
not for — ever to-think in-time little able — to-be for-the
περιβόλῳ τούτῳ τὴν ἀσφάλειαν ἀνασώσασθαι.
circuit-wall this the safety to-restore

21.14 ἔλεγον δέ τι καὶ λόγιον παλαιὸν ἐν Καρχηδόνι πρὸς τῶν
they-said and some also oracle old in Carthage by the
παιδίων ἐν τοῖς ἄνω χρόνοις εἰρῆσθαι ὡς τὸ γάμμα
Libya inhabited land settled Carthaginians and and

Λίβυας τοὺς ἄλλους κατηκόους σφίσιν ἐς φόρου ἀπαγωγὴν
Libyans the others subject to-them to of-tribute payment
ἐποιήσαντο.
made

10.29 ὕστερον δὲ οἱ Μαυρούσιοι πολλὰς κατὰ Βανδίλων νίκας
later and the Moors many over Vandals victories
ἀνελόμενοι Μαυριτανίαν τε τὴν νῦν καλουμένην ἐκ
having-won Mauretania both the now called from
Γαδείρων μέχρι τῶν Καισαρείας ὁρίων τείνουσαν καὶ
Gadira as-far-as the of-Caesarea borders extending and
Λιβύης τῆς ἄλλης τὰ πλεῖστα ἔσχον. τὰ μὲν δὴ
of-Libya the other the most held the(-things) indeed indeed
τῆς Μαυρουσίων ἐν Λιβύῃ ἐνοικήσεως ταύτῃ πη ἔσχε.
of-the of-Moors in Libya settlement thus somehow were

XV · MAMMES AND BURGAON

Solomon writes to the Moorish chiefs, who answer that they can always beget more children. At Mammes he breaks their ring of camels on foot and kills ten thousand. At Mount Burgaon he sends Theodore by night up the eastern cliffs; at dawn the Moors, struck from above and below, flee into a ravine and fill it with their dead, and an oracle about a beardless man is remembered.

11.1 Σολόμων δὲ τὰ ἐς Ῥουφῖνον καὶ Ἀιγὰν ξυνενεχθέντα
Solomon and the(-things) as-to Rufinus and Aigan having-happened
ἀκούσας τόν τε πόλεμον ἐν παρασκευῇ ἐποιεῖτο καὶ πρὸς
having-heard the both war in preparation made and to
τοὺς Μαυρουσίων ἄρχοντας ἔγραψε τάδε
the of-Moors commanders wrote these(-things)

“Ἤδη μὲν καὶ ἄλλοις ἀνθρώπων τισὶν ἀπονενοῆσθαί 11.2
already indeed also to-other of-men some to-have-lost-their-senses
τε καὶ ἀπολωλέναι τετύχηκεν, οἳ οὐδενὶ πρότερον
both and to-have-perished it-has-befallen who by-nothing before
τεκμηριῶσαι ἔσχον ὅπη ποτὲ αὐτοῖς τὰ τῆς ἀπονοίας
to-judge could how ever for-them the(-things) of-the madness
ἐκβήσεται.
will-turn-out
ὑμεῖς δέ, οἷς τὸ παράδειγμα ἐγγύθεν ἐκ τῶν συνοίκων 11.3
you but for-whom the example near from the neighbors
ὑμῖν Βανδίλων ἐστί, τί ποτε ἆρα παθόντες χεῖράς τε
to-you Vandals is what ever then having-suffered hands both
ἀνταίρειν ἔγνωτε βασιλεῖ τῷ μεγάλῳ καὶ τὴν ὑμῶν
to-raise-against you-decided against-(the)-emperor the great and the of-you
αὐτῶν σωτηρίαν προέσθαι;
yourselves safety to-throw-away
καὶ ταῦτα ὅρκους τε τοὺς δεινοτάτους ἐν γράμμασι 11.4
and that oaths both the most-terrible in writing
δόντες καὶ τοὺς παῖδας τοὺς ὑμετέρους τῶν
having-given and the children the your of-the(-things)
ὡμολογημένων ἐνέχυρα παρασχόμενοι;
agreed (as)-pledges having-furnished
ἢ ἐπίδειξίν τινα ἐγνώκατε ποιεῖσθαι, ὡς ὑμῖν οὔτε 11.5
or display some have-you-decided to-make that for-you neither
θεοῦ οὔτε πίστεως οὔτε τῆς ξυγγενείας αὐτῆς οὔτε τῆς
of-God nor of-faith nor of-the kinship itself nor of-the
σωτηρίας οὔτε ἄλλου ὁτουοῦν ἐστί τις λόγος;
safety nor of-other anything is any account

11.6 καίτοι, εἰ τὰ ἐς τὸ θεῖον ὑμῖν οὕτως ἤσκηται,
and-yet if the(-things) toward the divine by-you so have-been-practiced
τίνι ξυμμάχῳ πιστεύοντες ἐπὶ τὸν Ῥωμαίων βασιλέα
in-what ally trusting against the of-Romans emperor
χωρεῖτε;
do-you-advance

11.7 εἰ δὲ τοὺς παῖδας ἀπολοῦντες στρατεύεσθε, τί ποτέ
if and the children about-to-lose you-make-war what ever
ἐστιν ὑπὲρ ὅτου κινδυνεύειν βεβούλησθε;
is for which to-run-risks you-have-resolved

11.8 ἀλλ᾽ εἰ μὲν ἤδη τις εἰσῆλθεν ὑμᾶς τῶν φθασάντων
but if indeed already any has-entered you of-the(-things) done-before
μετάμελος, γράψατε ὅπως ὑμῖν εὖ τὰ πεπραγμένα
regret write so-that for-you well the(-things) done
θησόμεθα· εἰ δὲ τὰ τῆς ἀπονοίας ὑμῖν οὔπω
we-shall-settle if but the(-things) of-the madness for-you not-yet
λελώφηκε, δέξασθε Ῥωμαϊκὸν πόλεμον μετὰ τῶν
has-abated receive (a)-Roman war together-with the
ὅρκων, οἷς ἐλωβήσασθε, καὶ τῆς ἐς τοὺς παῖδας τοὺς
oaths which you-outraged and the toward the children the
ὑμετέρους ἀδικίας ὑμῖν προσιόντα.”
your wrong upon-you coming

11.9 τοσαῦτα μὲν Σολόμων ἔγραψεν. οἱ δὲ Μαυρούσιοι
so-much indeed Solomon wrote the and Moors
ἀπεκρίναντο ὧδε “Βελισάριος μὲν ἐπαγγελίαις μεγάλαις
answered thus Belisarius indeed with-promises great
ἡμᾶς περιελθὼν ἔπεισε βασιλέως Ἰουστινιανοῦ κατηκόους
us having-got-round persuaded of-emperor Justinian subjects
εἶναι· Ῥωμαῖοι δὲ τῶν ἀγαθῶν ἡμῖν οὐδενὸς μεταδόντες
to-be Romans but of-the goods to-us none having-given-a-share

λιμῷ πιεζομένους ἠξίουν φίλους τε ἡμᾶς καὶ ξυμμάχους
by-famine being-pressed thought-fit friends both us and allies
ἔχειν.
to-have
ὥστε εἰκότως ἂν μᾶλλον ὑμῖν ἢ Μαυρουσίοις τὸ μὴ 11.10
so-that reasonably — rather to-you than to-Moors the not
πιστοῖς καλεῖσθαι προσήκει.
faithful to-be-called belongs
λύουσι γὰρ τὰς σπονδὰς οὐχ ὅσοι ἀδικούμενοι ἐκ 11.11
break for the treaty not as-many-as being-wronged from
τοῦ ἐμφανοῦς τῶν πέλας κατηγοροῦντες ἀφίστανται, ἀλλ᾽
the open the neighbors accusing revolt but
ὅσοι ὑποσπόνδους ἔχειν ἀξιοῦντές τινας εἶτα βιάζονται.
as-many-as under-treaty to-have claiming some then force(-them)
καὶ τὸν θεὸν πολέμιον σφίσι ποιοῦνται οὐχ οἳ ἂν τὰ 11.12
and — God (an)-enemy to-them make not who — the(-things)
σφέτερα αὐτῶν κομιούμενοι ἐφ᾽ ἑτέρους χωροῖεν, ἀλλ᾽
their own about-to-recover against others would-advance but
ὅσοι τῶν ἀλλοτρίων ἐπιβατεύοντες ἐς κίνδυνον
as-many-as on-the(-things) of-others encroaching into danger
πολέμου καθίστανται.
of-war enter
παίδων μέντοι ἕνεκεν ὑμῖν μελήσει, οἷς μίαν ἄγεσθαι 11.13
of-children however for-the-sake to-you it-will-matter to-whom one to-take
γυναῖκα ἀνάγκη· ἡμᾶς γάρ, οἷς καὶ κατὰ πεντήκοντα,
wife (is)-necessary us for to-whom even by fifty
ἂν οὕτω τύχῃ, συνοικοῦσι γυναῖκες, παίδων οὐκ ἄν ποτε
— so it-chance live-with wives of-children not — ever
ἐπιλίποι γονή.᾽᾽
would-fail (the)-offspring

11.14 Ταῦτα ἀναλεξαμένῳ Σολόμωνι τὸ στράτευμα ὅλον ἐπὶ
these(-things) having-read to-Solomon the army whole against
Μαυρουσίους ἐπάγειν ἔδοξε. διαθέμενός τε τὰ ἐν
Moors to-lead it-seemed-good having-arranged and the in
Καρχηδόνι πράγματα, παντὶ τῷ στρατῷ ἐς Βυζάκιον ᾔει.
Carthage affairs with-all the army to Byzacium went
11.15 γενόμενος δὲ ἐς Μάμμης τὸ χωρίον, ἔνθα δὴ οἱ τέτταρες
having-come and to of-Mammes the place where indeed the four
τῶν Μαυρουσίων ἄρχοντες ἐστρατοπεδεύσαντο, ὧν ὀλίγῳ
of-the Moors commanders had-encamped whom (a)-little
πρότερον ἐπεμνήσθην, χαράκωμα ἐποιήσατο.
before I-mentioned (a)-stockade he-made
11.16 ὄρη δέ εἰσιν ἐνταῦθα ὑψηλὰ καὶ χωρίον ὁμαλὲς περὶ τὸν
mountains and are there high and (a)-place level about the
πρόποδα τῶν ὀρῶν, ἔνθα οἱ βάρβαροι παρασκευασάμενοι
foot of-the mountains where the barbarians having-prepared
ἐς τὴν μάχην ἐποιοῦντο τὴν παράταξιν ὧδε.
for the battle made the battle-line thus
11.17 κύκλον ἐκ τῶν καμήλων ταξάμενοι, ὅπερ καὶ τὸν
(a)-circle from the camels having-drawn-up which also —
Καβάωνα ἐν τοῖς ἔμπροσθεν λόγοις εἰργάσθαι ἐρρήθη,
Cabaon in the earlier accounts to-have-done was-said
κατὰ δυοκαίδεκα μάλιστα τοῦ μετώπου βάθος ἐποίουν.
by twelve about of-the front depth they-made
11.18 καὶ γυναῖκας μὲν ξὺν τοῖς παισὶ κατέθεντο τοῦ κύκλου
and wives indeed with the children they-placed the circle
ἐντός· (τοῖς γὰρ Μαυρουσίοις καὶ γυναῖκας ὀλίγας ξὺν τοῖς
within to-the for Moors also women few with the
παισὶν ἐς παράταξιν ἐπάγεσθαι νόμος, αἵπερ αὐτοῖς
children into battle-line to-bring (is-the)-custom who for-them

χαρακώματά τε καὶ καλύβας ποιοῦσι, καὶ ἱπποκομοῦσιν
stockades both and huts make and groom-horses
ἐμπείρως, καὶ τῶν τε καμήλων τῆς τε τροφῆς ἐπιμελοῦνται·
skillfully and of-the both camels of-the both food take-care
καὶ θήγουσαι τὰ τῶν ὅπλων σιδήρια πολλοὺς σφίσι 11.19
and sharpening the of-the arms iron-points many for-them
παραιροῦνται τῶν ἐν ταῖς παρατάξεσι πόνων·) αὐτοὶ δὲ πεζοὶ
take-away of-the in the battle-lines toils they and on-foot
ἐς μέσους τῶν καμήλων τοὺς πόδας ἵσταντο, ἀσπίδας τε
into (the)-midst of-the camels the feet stood shields both
καὶ ξίφη ἔχοντες καὶ δοράτια, οἷς ἀκοντίζειν εἰώθασι.
and swords having and javelins with-which to-hurl they-are-accustomed
τινὲς δὲ αὐτῶν ἐν τοῖς ὄρεσιν ἔχοντες τοὺς ἵππους ἡσύχαζον.
some and of-them on the mountains having the horses kept-quiet
Σολόμων δὲ τὸ μὲν ἥμισυ τοῦ Μαυρουσίων κύκλου, ὃ 11.20
Solomon and the indeed half of-the of-Moors circle which
πρὸς τῷ ὄρει ἐτύγχανεν ὂν, ἀφῆκεν, οὐδένα ἐνταῦθα
toward the mountain happened being let-go no-one there
καταστησάμενος.
having-posted
ἔδεισε γὰρ μὴ κατιόντες τε οἱ ἐν τῷ ὄρει πολέμιοι 11.21
he-feared for lest coming-down both the on the mountain enemies
καὶ οἱ ἐν τῷ κύκλῳ ἐπιστρεφόμενοι ἀμφιβόλους ἐν
and the(-ones) in the circle turning-about surrounded in
τῇ παρατάξει τοὺς ἐκείνῃ ταττομένους ποιήσωνται.
the battle-line the(-ones) there drawn-up should-make
ἐς δὲ τοῦ κύκλου τὸ λειπόμενον ὅλον ἀντιτάξας τὸ 11.22
against and of-the circle the remaining whole having-drawn-up-opposite the
στράτευμα, ἐπειδὴ αὐτῶν τοὺς πολλοὺς εἶδε πεφοβημένους
army when of-them the many he-saw frightened
τε καὶ ἀθαρσοῦντας, διὰ τὰ ἐς Ἀιγάν τε καὶ
both and disheartened because-of the(-things) as-to Aigan both and

Ῥουφῖνον ξυνενεχθέντα, βουλόμενος ὑπόμνησιν ποιήσασθαι
Rufinus having-happened wishing (a)-reminder to-make
αὐτοῖς τοῦ θαρσεῖν ἔλεξε τάδε
to-them of-the to-take-courage he-spoke these(-things)

11.23 "Ἄνδρες οἱ Βελισαρίῳ ξυστρατευσάμενοι, μηδεὶς ὑμᾶς
men the(-ones) with-Belisarius having-campaigned no you
τῶν ἀνδρῶν τῶνδε φόβος εἰσίτω, μηδέ, εἰ Μαυρούσιοι κατὰ
of-the men these fear let-enter nor if Moors by
μυριάδας πέντε συνειλεγμένοι Ῥωμαίων ἤδη πεντακοσίων
myriads five gathered of-Romans already five-hundred
ἐκράτησαν, τοῦτο ὑμῖν ἐν παραδείγματος μοίρᾳ γινέσθω.
overcame this for-you in of-example lot let-it-become

11.24 ἀλλ' ἀναμνήσθητε μὲν τῆς ἀρετῆς τῆς ὑμετέρας,
but remember indeed the valor the your
ἐκλογίζεσθε δὲ ὡς Βανδίλοι μὲν Μαυρουσίων ἐκράτουν,
reckon and that Vandals indeed Moors overcame
ὑμεῖς δὲ Βανδίλων ἀκονιτὶ κύριοι τῷ πολέμῳ γεγένησθε,
you and of-Vandals without-dust masters in-the war have-become
καὶ ὡς τοὺς τῶν μειζόνων κεκρατηκότας περὶ τῶν
and that the(-ones) the greater having-overcome about the
καταδεεστέρων πεφοβῆσθαι οὐ δίκαιον.
inferior to-be-afraid not just

11.25 καίτοι πάντων ἀνθρώπων ἐς ἀγῶνα πολέμου φαυλότατον
and-yet of-all men for (the)-contest of-war most-worthless
εἶναι δοκεῖ τὸ Μαυρουσίων ἔθνος.
to-be seems the of-Moors nation

11.26 γυμνοί τε γὰρ οἱ πλεῖστοί εἰσι καὶ αὐτῶν ὅσοι ἀσπίδας
unarmored both for the most are and of-them as-many-as shields
ἔχουσι, βραχείας τε ταύτας καὶ οὐκ εὖ πεποιημένας οὐδὲ
have small both these and not well made nor
ἀπωθεῖσθαι τὰ προσιόντα δυναμένας προβέβληνται.
to-push-off the(-things) coming-at able they-hold-before(-them)

καὶ τὰ δύο ταῦτα δοράτια ἀπορρίψαντες, ἢν μή τι 11.27
and the two these javelins having-thrown-away if not anything
δράσωσιν, αὐτόματοι ἐς φυγὴν τρέπονται.
they-accomplish of-their-own-accord to flight turn
ὥστε πάρεστιν ὑμῖν τὴν πρώτην φυλαξαμένοις τῶν 11.28
so-that it-is-possible for-you the first having-guarded-against of-the
βαρβάρων ὁρμὴν ἀνελέσθαι οὐδενὶ πόνῳ τὸ τοῦ πολέμου
barbarians onset to-carry-off with-no toil the of-the war
κράτος.
mastery
τῆς δὲ ὑμετέρας ὁπλίσεως ἡλίκον πρὸς τοὺς ἐναντίους 11.29
of-the and your equipment how-great against the opponents
τὸ διαλλάσσον ἐστὶν, ὁρᾶτε δήπου.
the difference is you-see doubtless
καὶ τούτων ἔξω, ψυχῶν μὲν ἀρετὴ καὶ σωμάτων ἀλκὴ 11.30
and these(-things) besides of-souls indeed valor and of-bodies strength
καὶ πολέμων ἐμπειρία καὶ τὸ θαρσεῖν, διὰ τὸ πάντας
and of-wars experience and the to-take-courage because-of the all
ἤδη νενικηκέναι τοὺς πολεμίους, ὑμῖν πρόσεστιν· οἱ δὲ
already to-have-conquered the enemies to-you belongs the but
Μαυρούσιοι τούτων ἁπάντων ἐστερημένοι μόνῳ τῷ σφῶν
Moors of-these all deprived in-only the of-them
αὐτῶν ὁμίλῳ πιστεύουσι.
selves multitude trust
ῥᾷον δὲ ὀλίγοι ὡς ἄριστα παρεσκευασμένοι πλῆθος 11.31
more-easily and few as best prepared (a)-multitude
οὐκ ἀγαθῶν τὰ πολέμια νικῶσιν ἀνθρώπων ἢ πρὸς
not good the(-things) of-war conquer of-men than by
αὐτῶν ἡσσῶνται.
them are-defeated

11.32 τῷ μὲν γὰρ ἀγαθῷ στρατιώτῃ τὸ θαρσεῖν ἐφ᾽ ἑαυτῷ
to-the indeed for good soldier the to-take-courage in himself
πάρεστι, τῷ δὲ ἀνάνδρῳ τὸ τῶν συντεταγμένων πλῆθος
is-present to-the but cowardly the of-the(-ones) drawn-up-with-(him) multitude
ἐς ἐπισφαλῆ στενοχωρίαν ὡς τὰ πολλὰ περιίσταται.
into dangerous straits as the most(-part) comes-round

11.33 καὶ μὴν καὶ καμήλων τῶνδε ὑμᾶς ὑπερφρονεῖν ἄξιον,
and indeed also camels these you to-despise (it-is)-worth
αἳ οὔτε ἀμύνειν τοῖς πολεμίοις οἷαί τέ εἰσι καὶ
which neither to-ward-off the enemies able — are and
πληγεῖσαι, ὡς τὸ εἰκός, μείζονος ταραχῆς τε καὶ ἀταξίας
having-been-struck as the likely of-greater confusion both and disorder
αἴτιαι τούτοις γενήσονται.
causes to-these will-become

11.34 καὶ τὸ προπετὲς, ὃ διὰ τὸ πρότερον εὐημερῆσαι οἱ
and the rashness which because-of the earlier to-have-prospered the
πολέμιοι κέκτηνται, ὑμῖν συναγωνιεῖσθαι ξυμβήσεται.
enemies have-acquired with-you to-fight-on-your-side will-happen

11.35 τόλμα γὰρ τῇ μὲν δυνάμει ξυμμετρουμένη τάχα τι
daring for to-the indeed power proportioned perhaps somewhat
καὶ τοὺς αὐτῇ χρωμένους ὀνήσει, ὑπεραίρουσα δὲ ταύτην
also the(-ones) it using will-profit exceeding but it
ἐς κίνδυνον ἄγει·
into danger leads

11.36 ὧν ἐνθυμούμενοι καὶ τῶν πολεμίων καταφρονοῦντες
which(-things) taking-to-heart and the enemies despising
σιγήν τε καὶ κόσμον ἀσκεῖτε· τούτων γὰρ ἐπιμελούμενοι
silence both and order practice these for taking-care-of
ῥᾷόν τε καὶ ἀπονώτερον τῆς τῶν βαρβάρων ἀκοσμίας
more-easily both and with-less-toil the of-the barbarians disorder
κρατήσομεν.” ταῦτα μὲν Σολόμων εἶπεν.
we-shall-overcome these(-things) indeed Solomon said

Οἱ δὲ τῶν Μαυρουσίων ἄρχοντες ἐπειδὴ καὶ αὐτοὶ 11.37
the and of-the Moors commanders when also themselves
τοὺς βαρβάρους καταπεπληγμένους τὴν τῶν Ῥωμαίων
the barbarians struck-with-fear at-the of-the Romans
εὐκοσμίαν εἶδον, βουλόμενοι αὐτῶν τὸ πλῆθος ἐπὶ τὸ
good-order saw wishing their the multitude to the
θαρσεῖν αὖθις ἀντικαθιστάναι, τοιάδε παρεκελεύσαντο
to-take-courage again to-set-up such(-things) exhorted
“ Ὡς μὲν ἀνθρώπεια Ῥωμαῖοι σώματα ἔχουσι καὶ οἷα 11.38
that indeed human Romans bodies have and as
σιδήρῳ πλησσόμενα εἴκειν μεμαθήκαμεν, ὦ ξυστρατιῶται,
by-iron being-struck to-yield we-have-learned O fellow-soldiers
οἷς αὐτῶν ἔναγχος τοὺς πάντων ἀρίστους πὴ μὲν
in-that of-them lately the of-all best some indeed
καταχωσθέντας τοῖς δόρασι τοῖς ἡμετέροις ἐκτείναμεν, πὴ
overwhelmed by-the spears the our we-killed some
δὲ ἁρπάσαντες δορυαλώτους ἡμῶν αὐτῶν πεποιήμεθα.
and having-seized captives-of-the-spear of-us selves we-have-made
τούτων δὲ τοιούτων ὄντων, ὡς καὶ νῦν αὐτῶν τῷ 11.39
these(-things) and such being that also now them in-the
πλήθει παρὰ πολὺ προέχειν αὐχοῦμεν, ὁρᾶν πάρεστι.
number by much to-surpass we-boast to-see it-is-possible
καὶ μὴν καὶ ὑπὲρ τῶν μεγίστων ἡμῖν ὁ ἀγών ἐστιν, 11.40
and indeed also for the greatest(-things) for-us the contest is
ἢ Λιβύης πάσης κυρίοις εἶναι, ἢ τοῖς ἀλαζόσι τοῖσδε
either of-Libya all masters to-be or to-the braggarts these
δουλεύειν.
to-be-slaves

11.41 ὥστε ἡμῖν ἀνάγκη ὡς μάλιστα ἐν τῷ παρόντι
so-that for-us (it-is)-necessary as most in the present
ἀνδραγαθίζεσθαι. οἷς γὰρ ὑπὲρ τῶν ὅλων ὁ κίνδυνος,
to-be-brave for-whom for for the whole the danger
μὴ οὐχὶ εὐψυχοτάτοις εἶναι ἀξύμφορον.
not not most-courageous to-be disadvantageous

11.42 τῆς δὲ τῶν πολεμίων ὁπλίσεως ὑπερφρονεῖν ἡμᾶς
the and of-the enemies equipment to-despise us
προσήκει. ἤν τε γὰρ πεζῇ ἐφ᾽ ἡμᾶς ἴωσιν, οὐκ εὐσταλεῖς
it-befits if both for on-foot against us they-come not nimble
ἔσονται, ἀλλ᾽ ἡσσηθήσονται τοῦ Μαυρουσίων τάχους, καὶ
they-will-be but will-be-outdone by-the of-Moors speed and
τὴν ἵππον αὐτοῖς ἥ τε τῶν καμήλων ὄψις ἐκπλήξασα
the horse for-them the both of-the camels sight having-struck-out
καὶ τὸν ἄλλον τοῦ πολέμου θόρυβον ἡ τούτων κραυγὴ
and the other of-the war din the of-these cry
ὑπερηχοῦσα εἰς ἀταξίαν, ὥς γε τὸ εἰκός, καταστήσεται.
sounding-over into disorder as at-least the likely will-put

11.43 καὶ τὴν ἐς Βανδίλους νίκην εἴ τις ἐκλογιζόμενος μὴ
and the over Vandals victory if anyone reckoning not
ἀνταγωνίστους αὐτοὺς οἴεται εἶναι, γνώμης ἁμαρτάνει.
rivals them thinks to-be in-judgment errs

11.44 ἡ μὲν γὰρ τοῦ πολέμου ῥοπὴ τῇ τοῦ στρατηγοῦντος
the indeed for of-the war turn by-the of-the general
ἀρετῇ ἢ τύχῃ κρίνεσθαι πέφυκε· Βελισάριον δέ, ὃς τῆς
valor or fortune to-be-decided is-wont Belisarius but who of-the
Βανδίλων ἐπικρατήσεως αἴτιος γέγονεν, ἐκποδὼν νῦν
of-Vandals conquest (the)-cause has-been out-of-the-way now
ἡμῖν ἑστηκέναι πεποίηκε τὸ δαιμόνιον.
for-us to-have-stood has-made the divinity

ἄλλως τε καὶ ἡμεῖς Βανδίλους πολλάκις νενικηκότες, 11.45
especially — also we Vandals often having-conquered
περιελόντες τε τὴν αὐτῶν δύναμιν, ἑτοιμότερόν τε καὶ
having-stripped both the their power readier both and
ἀπονώτερον Ῥωμαίοις τὸ κατ᾽ αὐτῶν πεποιήμεθα κράτος.
with-less-toil for-Romans the over them have-made mastery
καὶ νῦν δὲ πολεμίων τῶνδε κρατήσειν, ἢν ἐν τῷ ἔργῳ 11.46
and now too enemies these to-overcome if in the action
ἀνδραγαθίζησθε, ἐλπίδα ἔχομεν.᾽᾽
you-are-brave hope we-have
Τοσαῦτα καὶ οἱ Μαυρουσίων ἄρχοντες παρακελευσάμενοι 11.47
so-much also the of-Moors commanders having-exhorted
τῆς ξυμβολῆς ἦρχον. καὶ τὰ μὲν πρῶτα πολλὴ ἀκοσμία
the engagement began and the indeed first much disorder
ἐς τὸ Ῥωμαίων στράτευμα ἐγεγόνει.
in the of-Romans army had-arisen
οἱ γὰρ ἵπποι αὐτοῖς τῇ τε κραυγῇ καὶ τῇ ὄψει τῶν 11.48
the for horses for-them by-the both cry and by-the sight of-the
καμήλων ἀχθόμενοι ἀνεχαιτίζοντό τε καὶ ἀπορριπτοῦντες
camels vexed reared both and throwing-off
τοὺς ἐπιβάτας οὐδενὶ κόσμῳ οἱ πλεῖστοι ἔφευγον.
the riders with-no order the most fled
καὶ ἐν τούτῳ ἐπεκδρομὰς ποιούμενοι οἱ Μαυρούσιοι καὶ τὰ 11.49
and in this sallies making the Moors and the
δοράτια, ὅσα σφίσιν ἐν ταῖς χερσὶν ἦν, ἀκοντίζοντες,
javelins as-many-as to-them in the hands were hurling
θορύβου τε αὐτῶν ἐμπίπλασθαι τὸ στράτευμα ἐποίουν
with-tumult both them to-be-filled the army made
καὶ οὔτε ἀμυνομένους οὔτε ἐν τάξει μένοντας ἔπλησσον.
and neither defending(-themselves) nor in rank remaining they-struck

11.50 ὕστερον δὲ Σολόμων, κατιδὼν τὰ πρασσόμενα,
later and Solomon having-observed the(-things) being-done
ἔκ τε τοῦ ἵππου ἀποθρώσκει πρῶτος καὶ τοὺς ἄλλους
from both the horse leaps-down first and the others
ἅπαντας ἐς τοῦτο ἐνάγει.
all to this leads

11.51 καὶ ἐπειδὴ ἀπέβησαν, τοῖς μὲν ἄλλοις ἐνετέλλετο
and when they-dismounted to-the indeed others he-ordered
ἡσυχάζουσι καὶ τὰς ἀσπίδας προβαλλομένοις δεχομένοις
keeping-quiet and the shields holding-before receiving
τε τὰ παρὰ τῶν πολεμίων πεμπόμενα ἐν τῇ τάξει
both the(-things) from the enemies being-sent in the rank
μένειν· αὐτὸς δὲ στρατιώτας οὐχ ἧσσον ἢ πεντακοσίους
to-remain himself and soldiers not less than five-hundred
ἐπαγόμενος ἐς τὴν τοῦ κύκλου ἐπέσκηψε μοῖραν.
bringing on the of-the circle fell part

11.52 οὓς δὴ τὰ ξίφη ἀνελομένους ἐκέλευε τὰς καμήλους, αἳ
whom indeed the swords having-taken-up he-ordered the camels which
ταύτῃ εἱστήκεσαν, κτείνειν.
there stood to-kill

11.53 τότε Μαυρούσιοι μὲν, ὅσοι ἐκείνῃ ἐτετάχατο, ἐς φυγὴν
then Moors indeed as-many-as there had-been-posted to flight
ὥρμηντο, οἱ δὲ ξὺν τῷ Σολόμωνι κτείνουσι καμήλους
rushed the(-ones) and with — Solomon kill camels
ἀμφὶ διακοσίας, αὐτίκα τε ὁ κύκλος, ἐπεὶ αἱ κάμηλοι
about two-hundred at-once both the circle when the camels
ἔπεσον, ἐσβατὸς Ῥωμαίοις ἐγένετο.
fell enterable for-Romans became

11.54 καὶ αὐτοὶ μὲν δρόμῳ ἐς τὸ τοῦ κύκλου μέσον ἐχώρουν,
and they indeed at-a-run to the of-the circle middle advanced
ἔνθα αἱ Μαυρουσίων γυναῖκες ἐκάθηντο· οἱ δὲ βάρβαροι
where the of-Moors women sat the but barbarians

ἐκπεπληγμένοι ἐς τὸ ὄρος, ὅπερ ἄγχιστα ἦν, ἀποχωροῦσι,
panic-struck to the mountain which nearest was withdraw
φεύγοντάς τε αὐτοὺς ξὺν πάσῃ ἀκοσμίᾳ ἐπισπόμενοι
fleeing both them with all disorder following
Ῥωμαῖοι ἔκτεινον.
Romans killed
καὶ λέγονται Μαυρουσίων μύριοι ἐν τούτῳ τῷ πόνῳ 11.55
and are-said of-Moors ten-thousand in this the toil
ἀποθανεῖν. γυναῖκές τε πᾶσαι ξὺν τοῖς παισὶν ἐν
to-have-died women both all with the children in
ἀνδραπόδων λόγῳ ἐγένοντο.
of-slaves account became
καὶ καμήλους οἱ στρατιῶται πάσας, ὅσας οὐκ ἔκτειναν, 11.56
and camels the soldiers all as-many-as not they-killed
ἐλήισαντο. οὕτω τε Ῥωμαῖοι μὲν ξὺν πάσῃ τῇ λείᾳ ἐς
plundered so both Romans indeed with all the booty to
Καρχηδόνα ᾔεσαν, τὴν ἐπινίκιον ἑορτὴν ἄγοντες.
Carthage went the of-victory festival keeping
Οἱ δὲ βάρβαροι χρώμενοι θυμῷ πανδημεὶ ἐπὶ Ῥωμαίους 12.1
the and barbarians using spirit in-a-body against Romans
αὖθις, οὐδένα σφῶν ἀπολιπόντες, ἐστράτευσαν, καὶ
again none of-them having-left-behind marched and
καταθεῖν τὰ ἐν Βυζακίῳ χωρία ἤρξαντο, οὐδεμιᾶς ἡλικίας
to-overrun the in Byzacium places began of-no age
τῶν σφίσι παραπιπτόντων φειδόμενοι.
of-the(-ones) to-them falling-in-the-way sparing
ἄρτι τε Σολόμωνι ἐς Καρχηδόνα ἐληλακότι βάρβαροι 12.2
just both to-Solomon to Carthage having-ridden barbarians
πλήθει μεγάλῳ ἐς Βυζάκιον ἐληλυθέναι καὶ ληίζεσθαι
in-number great to Byzacium to-have-come and to-plunder

πάντα τὰ ἐκείνῃ ἠγγέλλοντο. ἅρας οὖν κατὰ
all the(-things) there were-reported having-set-out then with
τάχος παντὶ τῷ στρατῷ ἐπ᾽ αὐτοὺς ἤει.
speed with-all the army against them went

12.3 γενόμενος δὲ ἐν Βουργάωνι, ἔνθα οἱ πολέμιοι
having-come and at Burgaon where the enemies
ἐστρατοπεδεύσαντο, ἡμέρας μέν τινας ἀντεκάθητο, ὅπως,
had-encamped days indeed some he-sat-opposite so-that
ἐπειδὰν τάχιστα ἐν τῷ ὁμαλεῖ γένωνται οἱ Μαυρούσιοι,
when quickest in the level should-come the Moors
τῆς ξυμβολῆς ἄρχοι.
the engagement he-might-begin

12.4 ὡς δὲ ἐκεῖνοι ἐν τῷ ὄρει ἔμενον, διεῖπέ τε ὡς ἐς
when and they on the mountain remained he-arranged both as for
μάχην καὶ διεκόσμει τὸ στράτευμα, οἱ δὲ Μαυρούσιοι ἐς
battle and marshaled the army the and Moors to
μὲν τὸ πεδίον ἥκιστα Ῥωμαίοις τὸ λοιπὸν ἐς μάχην ἰέναι
indeed the plain least with-Romans the henceforth to battle to-go
διενοοῦντο (ἤδη γὰρ αὐτοὺς ἄμαχόν τι δέος ἐσῄει), ἐν δὲ
intended already for them invincible some fear had-entered on but
τῷ ὄρει ἤλπιζον ῥᾷον αὐτῶν περιέσεσθαι τῷ πολέμῳ.
the mountain they-hoped more-easily them to-overcome in-the war

12.5 ἔστι δὲ τὸ ὄρος ὁ Βουργάων ἐπὶ πλεῖστον μὲν
is and the mountain — Burgaon for most indeed
ἀπότομον καὶ τὰ πρὸς ἀνίσχοντα ἥλιον δεινῶς ἄβατον,
sheer and the(-parts) toward rising sun terribly impassable
τὰ δὲ πρὸς ἑσπέραν εὐέφοδόν τε καὶ ὑπτίως ἔχον.
the(-parts) but toward west easy-of-access both and sloping being

καὶ σκοπέλω ὑψηλῶ δύο ἀνέχετον νάπην τινὰ ἐν μέσῳ 12.6
and crags high two rise-up glen some in (the)-middle
σφῶν ἐργαζομένω, στενὴν μὲν κομιδῆ, ἐς βάθος δέ τι
of-them making narrow indeed quite to depth but some
ἄφατον κατατείνουσαν.
unspeakable extending
οἱ δὲ βάρβαροι τὴν μὲν ἄκραν τοῦ ὄρους ἀπέλιπον 12.7
the and barbarians the indeed summit of-the mountain left
ἀνδρῶν ἔρημον, οὐδὲν ἐνθένδε πολέμιον οἰόμενοι σφίσιν
of-men empty nothing thence hostile thinking to-them
ἔσεσθαι· ὁμοίως δὲ καὶ τὸν ἀμφὶ τὸν πρόποδα χῶρον
to-be likewise and also the about the foot place
ἔλιπον, οὗ δὴ εὐπρόσοδος ὁ Βουργάων ἦν.
left where indeed easy-of-approach — Burgaon was
κατὰ δὲ τὰ μέσα στρατοπεδευσάμενοι ἔμενον, ὅπως, 12.8
in and the middle(-parts) having-encamped remained so-that
ἢν οἱ πολέμιοι ἐπὶ σφᾶς ἀνιόντες μάχης ἄρξωσιν, αὐτοὶ
if the enemies against them going-up battle should-begin they
ἤδη ὕπερθεν ἐκείνων γενόμενοι κατὰ κορυφὴν βάλλωσιν.
already above them having-come from above might-strike(-them)
ἦσαν δὲ αὐτοῖς ἐν τῷ ὄρει καὶ ἵπποι πολλοὶ ἢ ἐς 12.9
were and for-them on the mountain also horses many either for
φυγὴν παρεσκευασμένοι, ἢ ἐς τὴν δίωξιν, ἢν τῆς μάχης
flight prepared or for the pursuit if the battle
κρατήσωσι.
they-should-win
Σολόμων δέ, ἐπεὶ εἶδε τοὺς Μαυρουσίους οὐκέτι ἐν 12.10
Solomon and when he-saw the Moors no-longer in
τῷ ὁμαλεῖ ἐθέλοντας διαμάχεσθαι, καὶ ἅμα τῇ
the level wishing to-fight-it-out and at-the-same(-time) with-the

προσεδρείᾳ τὸ Ῥωμαίων στράτευμα ἐν χωρίῳ ἐρήμῳ ἤχθετο,
siege the of-Romans army in (a)-place desert was-vexed
ἐς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις ἐν Βουργάωνι ἠπείγετο.
to hands to-come with-the enemies at Burgaon hastened
12.11 ἰδὼν δὲ τοὺς στρατιώτας καταπεπληγμένους τῷ τῶν
having-seen and the soldiers struck-with-fear by-the of-the
ἐναντίων ὁμίλῳ πολυπλασίῳ ἢ ἐν τῇ προτέρᾳ μάχῃ
opponents multitude many-times-greater than in the former battle
γεγενημένῳ, ξυγκαλέσας τὸ πλῆθος ἔλεξε τοιάδε
having-been having-called-together the multitude he-spoke such(-things)
12.12 "Τὸ μὲν δέος, ᾧ πρὸς ὑμᾶς οἱ πολέμιοι χρῶνται,
the indeed fear which toward you the enemies use
οὐχ ἑτέρου του κατηγόρου δεῖται, ἀλλ' αὐτεπάγγελτον
not other any accuser needs but self-proclaimed
ἐξελήλεγκται τὴν οἴκοθεν ἐπαγόμενον μαρτυρίαν.
has-been-proved the from-home brought-in testimony
12.13 ὁρᾶτε γὰρ δή που τοὺς ἐναντίους εἰς τόσας μὲν καὶ
you-see for indeed surely the opponents into so-many indeed and
τόσας μυριάδας συνειλεγμένους, οὐ τολμῶντας δὲ ἡμῖν
so-many myriads gathered not daring but with-us
εἰς τὸ πεδίον καταβαίνοντας ξυμβαλεῖν, οὐδὲ πιστεύειν ἐπὶ
into the plain coming-down to-engage nor to-trust in
σφίσιν αὐτοῖς ἔχοντας, ἀλλ' εἰς τὴν τοῦ χωρίου τούτου
them selves able but into the of-the place this
δυσκολίαν καταφυγόντας.
difficulty having-fled
12.14 ὥστε ὑμῖν οὐδέ τι ἐγκελεύεσθαι ἔν γε τῷ παρόντι
so-that to-you not-even anything to-exhort in at-least the present
ἐπάναγκες. οἷς γὰρ τὰ πράγματα καὶ ἡ τῶν πολεμίων
(is)-necessary to-whom for the facts and the of-the enemies

ἀσθένεια τὸ θαρσεῖν δίδωσιν, οὐδὲν οἶμαι τῆς ἐκ τῶν
weakness the to-take-courage gives nothing I-think of-the from the
λόγων ὠφελείας προσδεῖ.
words help they-need-besides
τοσοῦτον δὲ ὑπομνῆσαι ὑμᾶς δεήσει ὡς, ἢν μετὰ 12.15
so-much but to-remind you it-will-be-necessary that if with
εὐψυχίας καὶ τήνδε τὴν ξυμβολὴν διενέγκωμεν, λελείψεται
courage also this the engagement we-carry-through it-will-be-left
ἡμῖν, Βανδίλων τε νενικημένων καὶ Μαυρουσίων εἰς
for-us Vandals both having-been-conquered and Moors to
ταὐτὸ τύχης ἐληλακότων, τῶν Λιβύης ἀγαθῶν ἀπόνασθαι
the-same of-fortune having-come of-the of-Libya goods to-enjoy
πάντων, οὐδὲν ὅ τι καὶ πολέμιον ἐννοεῖν ἔχουσιν.
all nothing that — even hostile to-think-of having
ὅπως δὲ μὴ κατὰ κορυφὴν ὑμᾶς οἱ πολέμιοι βάλλωσι, 12.16
so-that and not from above you the enemies should-strike
μηδέ τι ἐκ τοῦ χωρίου ἡμῖν γίγνοιτο βλάβος, ἐγὼ
nor any from the place to-us should-come harm I
προνοήσω."
will-provide
Τοσαῦτα παρακελευσάμενος Σολόμων, Θεόδωρον ἐκέλευεν, ὃς 12.17
so-much having-exhorted Solomon Theodore ordered who
τῶν ἐξκουβιτώρων ἡγεῖτο (οὕτω γὰρ τοὺς φύλακας Ῥωμαῖοι
of-the excubitors was-leader so for the guards Romans
καλοῦσι), πεζοὺς χιλίους ἐπαγαγόμενον ἀμφὶ δείλην ὀψίαν
call foot-soldiers thousand bringing about evening late
ἔχοντά τε καὶ τῶν σημείων τινὰ ἐς τὰ πρὸς ἀνίσχοντα
having both and of-the standards some to the(-parts) toward rising
ἥλιον τοῦ Βουργάωνος λάθρα ἀναβῆναι, οὗ μάλιστα
sun — of-Burgaon secretly to-go-up where most
δύσοδόν τε τὸ ὄρος καὶ σχεδόν τι ἀπόρευτον ἦν,
hard-to-approach both the mountain and nearly somewhat impassable was

ἐπιστείλας ὥστε, ἐπειδὰν ἄγχι ἐς τὸν τοῦ ὄρους κολωνὸν
having-instructed that when near to the of-the mountain crest
ἵκωνται, ἐνταῦθα ἡσυχάζοντας τὸ λοιπὸν διανυκτερεύειν,
they-should-come there keeping-quiet the rest to-pass-the-night
ἅμα τε ἡλίῳ ἀνίσχοντι καθύπερθεν φαινομένους
at-the-same(-time) both with-(the)-sun rising from-above appearing
τῶν πολεμίων καὶ τὰ σημεῖα ἐνδεικνυμένους βάλλειν.
of-the enemies and the standards displaying to-shoot

12.18 ὁ δὲ κατὰ ταῦτα ἐποίει. καὶ ἐπεὶ πόρρω ἦν
he and according-to these(-things) did and when far-on it-was
τῶν νυκτῶν, διὰ τοῦ κρημνώδους ἐγγὺς τοῦ σκοπέλου
of-the nights through the precipitous(-part) near the crag
ἀφικόμενοι μὴ ὅτι Μαυρουσίους, ἀλλὰ καὶ Ῥωμαίους
having-arrived not only Moors but also Romans
ἅπαντας ἔλαθον·
all they-escaped-the-notice-of

12.19 ἐς προφυλακὴν γὰρ τῷ λόγῳ ἐστέλλοντο, μή τις
for (an)-outpost for in-the word they-were-sent lest anyone
ἔξωθεν ἐς τὸ στρατόπεδον κακουργήσων ἴοι· ὄρθρου
from-outside into the camp to-do-harm should-come at-dawn
δὲ βαθέος Σολόμων παντὶ τῷ στρατῷ κατὰ τοῦ
and deep Solomon with-all the army by —
Βουργάωνος τὰ ἔσχατα ἐπὶ τοὺς πολεμίους ἀνέβαινε.
of-Burgaon the lowest(-parts) against the enemies went-up

12.20 καὶ ἐπειδὴ πρωῒ ἐγεγόνει ἐγγύς τε οἱ πολέμιοι
and when early it-had-become near both the enemies
καθεωρῶντο, οὐκέτι γυμνήν, ὥσπερ τὸ πρότερον, οἱ
were-being-seen no-longer bare as the before the
στρατιῶται τὴν τοῦ ὄρους ὑπερβολὴν ὁρῶντες, ἀλλὰ
soldiers the of-the mountain height seeing but

ἀνδρῶν τε ἀνάπλεων καὶ σημεῖα Ῥωμαϊκὰ ἐνδεικνυμένων
of-men both full and standards Roman displaying
(ἤδη γὰρ καὶ ὑπέφαινέ τι ἡμέρας) διηποροῦντο.
already for also was-glimmering some(-thing) of-day were-at-a-loss
ἐπεὶ δὲ τῶν χειρῶν οἱ ἐν τῇ ἄκρᾳ ἦρχον, οἵ τε Ῥωμαῖοι 12.21
when and the hands the(-ones) on the summit began the both Romans
τὸ στράτευμα οἰκεῖον εἶναι καὶ οἱ βάρβαροι ἐν μέσῳ τῶν
the army own to-be and the barbarians in (the)-middle of-the
πολεμίων γεγονέναι ᾐσθάνοντο, βαλλόμενοι δὲ ἑκατέρωθεν,
enemies to-have-come perceived being-shot and from-both-sides
καὶ οὐ παρὸν σφίσι τοὺς πολεμίους ἀμύνεσθαι, ἐς ἀλκὴν
and not being-possible for-them the enemies to-repel to resistance
μὲν οὐκέτι ἔβλεπον, ἐς φυγὴν δὲ αὐτίκα ξύμπαντες ὥρμηντο.
indeed no-longer looked to flight but at-once all rushed
οὔτε δὲ ἐς τοῦ Βουργάωνος τὴν ὑπερβολὴν ἀναδραμεῖν 12.22
neither and to — of-Burgaon the height to-run-up
ἔχοντες, πρὸς τῶν πολεμίων κατεχομένην, οὔτε ἐς τὸ
being-able by the enemies held nor to the
ὁμαλὲς διὰ τοῦ πρόποδός πη ἰέναι, ἐνθένδε σφίσιν
level through the foot somehow to-go thence on-them
ἐπικειμένων τῶν ἐναντίων, ἔς τε τὴν νάπην καὶ ἐς τῶν
pressing the opponents to both the glen and to of-the
σκοπέλων τὸν ἕτερον δρόμῳ πολλῷ ᾔεσαν, οἱ μὲν αὐτοῖς
crags the other at-a-run great went the indeed and-all
ἵπποις, οἱ δὲ καὶ πεζῇ.
horses the and also on-foot
ἅτε δὲ ὅμιλος πολὺς ἐν φόβῳ καὶ θορύβῳ μεγάλῳ φεύγοντες, 12.23
as and (a)-crowd great in fear and tumult great fleeing
σφᾶς τε αὐτοὺς ἔκτεινον καὶ ἐς τὴν νάπην βαθεῖαν
them both selves they-killed and into the glen deep

κομιδῆ οὖσαν ἐσπίπτοντες ἀεὶ οἱ πρῶτοι ἔθνησκον, τοῖς
quite being falling-in always the first died to-the
μέντοι ὄπισθεν ἰοῦσιν οὐ παρείχοντο τοῦ κακοῦ αἴσθησιν.
however behind coming not they-gave of-the evil perception

12.24 ἐπεὶ δὲ τῶν τεθνεώτων ἵππων τε καὶ ἀνθρώπων ἡ νάπη
when and of-the dead horses both and men the glen
ἔμπλεως γενομένη διάβασιν ἐκ τοῦ Βουργάωνος ἐς ὄρος
full having-become (a)-crossing from — Burgaon to mountain
ἐποίει τὸ ἕτερον, ἐνταῦθα ἐσώζοντο οἱ ὑπολειπόμενοι,
made the other there were-saved the(-ones) remaining
διὰ τῶν σωμάτων τὴν πορείαν ποιούμενοι.
through the bodies the march making

12.25 ἀπέθανον δὲ ἐν τούτῳ τῷ πόνῳ Μαυρουσίων μὲν μυριάδες
died and in this the toil of-Moors indeed myriads
πέντε, ὡς αὐτῶν ἰσχυρίζοντο οἱ περιόντες, Ῥωμαίων
five as of-them insisted the(-ones) surviving of-Romans
δὲ τὸ παράπαν οὐδείς, οὐ μὴν οὐδὲ πληγήν τινα ἔλαβεν
but the altogether no-one not however not-even wound any took
ἢ πρὸς τῶν πολεμίων ἢ τύχης αὐτῷ ξυμβάσης τινός,
either from the enemies or (a)-chance to-him having-befallen any
ἀλλ᾽ ἀκραιφνεῖς πάντες τῆς νίκης ἀπώναντο ταύτης.
but unscathed all the victory enjoyed this

12.26 διέφυγον δὲ καὶ οἱ τῶν βαρβάρων ἡγούμενοι πάντες, πλήν
escaped and also the of-the barbarians leading all except
γε δὴ ὅτι Ἐσδιλάσας πίστεις λαβὼν Ῥωμαίοις
at-least indeed that Esdilasas pledges having-received to-Romans
αὐτὸν ἐνεχείρισε.
himself surrendered

γυναικῶν μέντοι καὶ παίδων λείαν τοσαύτην τὸ πλῆθος 12.27
of-women however and children booty so-great in-the number
Ῥωμαῖοι εἷλον ὥστε προβάτου τιμῆς παῖδα Μαυρούσιον
Romans took that of-(a)-sheep at-(the)-price (a)-boy Moorish
τοῖς ὠνεῖσθαι βουλομένοις ἀπέδοντο.
to-the(-ones) to-buy wishing they-sold
καὶ τότε Μαυρουσίων τοὺς ὑπολειπομένους γυναικῶν 12.28
and then of-Moors the(-ones) remaining of-women
τῶν σφετέρων τὸ λόγιον ἐσῆει, ὡς ἄρα τὸ γένος
the their-own the oracle came-into(-the-mind) that after-all the race
αὐτοῖς πρὸς ἀνδρὸς ἀγενείου ὀλεῖται.
for-them by (a)-man beardless will-perish
τὸ μὲν οὖν Ῥωμαίων στράτευμα ξύν τε τῇ λείᾳ καὶ τῷ 12.29
the indeed then of-Romans army with both the booty and —
Ἐσδιλάσᾳ ἐς Καρχηδόνα ἐσήλαυνον, τῶν δὲ βαρβάρων
Esdilasas to Carthage rode of-the but barbarians
ὅσοις μὴ ἀπολωλέναι ξυμβέβηκεν, ἐν Βυζακίῳ μὲν
to-as-many-as not to-have-perished it-has-befallen in Byzacium indeed
ἱδρῦσθαι ἀδύνατα ἐδόκει εἶναι, ὅπως μὴ ὀλίγοι ὄντες πρὸς
to-be-settled impossible seemed to-be so-that not few being by
Λιβύων τῶν σφίσιν ὁμόρων βιάζωνται, ξὺν δὲ ἄρχουσι
Libyans the to-them neighboring they-should-be-forced with and commanders
τοῖς σφετέροις εἰς Νουμιδίαν ἀφικόμενοι ἱκέται γίνονται
the their-own to Numidia having-come suppliants become
Ἰαύδα, ὃς τῶν ἐν Αὐρασίῳ Μαυρουσίων ἦρχε.
of-Iaudas who of-the in Aurasium Moors ruled
μόνοι δὲ Μαυρουσίων ἐν Βυζακίῳ διέμειναν ὧν ἡγεῖτο 12.30
alone and of-Moors in Byzacium remained whom led
Ἀντάλας, ὃς δὴ ἐν τούτῳ τῷ χρόνῳ τὴν ἐς Ῥωμαίους
Antalas who indeed in this the time the toward Romans

πίστιν φυλάξας κακῶν ἀπαθὴς ξὺν τοῖς ὑπηκόοις τοῖς
faith having-kept of-ills unharmed with the subjects the
αὐτοῦ ἔμεινεν.
his remained

XVI · AURASIUM AND THE MUTINY

Althias wins a duel with Iaudas at a spring. Solomon marches into Aurasium, a mountain of plains and gardens, but distrusts his Moorish allies and withdraws. In Italy Belisarius takes Sicily, and a dim sun marks a year of evils. At Easter the soldiers, claiming the Vandal lands through their Vandal wives and stirred by Arian priests, plot to kill Solomon in church; they lose nerve, mutiny, and Solomon escapes to Belisarius with Procopius.

13.1 Ἐν ᾧ δὲ ταῦτα ἐν Βυζακίῳ ἐγένετο, ἐν τούτῳ
in which and these(-things) in Byzacium happened in this
Ἰαύδας, ὃς τῶν ἐν Αὐρασίῳ Μαυρουσίων ἦρχε, πλέον ἢ
Iaudas who of-the in Aurasium Moors ruled more than
τρισμυρίους ἄνδρας μαχίμους ἐπαγόμενος ἐληίζετο τὰ ἐπὶ
thirty-thousand men fighting bringing plundered the in
Νουμιδίας χωρία, ἠνδραπόδιζέ τε τῶν Λιβύων πολλούς.
Numidia places enslaved and of-the Libyans many
13.2 ἐτύγχανε δὲ Ἀλθίας ἐν κεντουρίαις τῶν ἐκείνῃ φρουρίων
happened and Althias in centuriae of-the there fortresses
φυλακὴν ἔχων, ὃς τῶν αἰχμαλώτων τινὰς ἀφελέσθαι τοὺς
(the)-guard having who of-the captives some to-take-from the
πολεμίους ἐν σπουδῇ ἔχων ξὺν Οὔννοις τοῖς αὐτῷ ἑπομένοις,
enemies in eagerness having with Huns the him following
ἑβδομήκοντα μάλιστα οὖσιν, ἔξω τοῦ φρουρίου ἐγένετο.
seventy about being outside the fortress came

λογισάμενός τε ὡς οὐχ οἷός τέ ἐστι πλήθει 13.3
having-reckoned and that not able — he-is with-(a)-multitude
Μαυρουσίων τοσούτῳ ξὺν ἀνδράσιν ἑβδομήκοντα ἐς
of-Moors so-great with men seventy into
χεῖρας ἰέναι, στενοχωρίαν καταλαβεῖν τινα ἤθελεν, ὅπως
hands to-go narrow-place to-seize some he-wished so-that
ἂν δι᾽ αὐτῆς ὁδῷ ἰόντων τῶν πολεμίων τῶν τινας
— through it by-road going the enemies of-the some
αἰχμαλώτων ἀναρπάσαι δυνατὸς εἴη.
captives to-snatch-away able he-might-be
καὶ (οὐ γάρ ἐστι τοιαύτη τις ἐνταῦθα ὁδός, ἐπεὶ πεδία 13.4
and not for is such any there road since plains
ὕπτια πανταχῆ τῶν ἐκείνῃ χωρίων ἐστὶν) ἐπενόει τάδε.
level everywhere of-the there places are he-devised these(-things)
πόλις ἔστι που πλησίον Τίγισις ὄνομα, τότε μὲν 13.5
(a)-city is somewhere near Tigisis by-name then indeed
ἀτείχιστος οὖσα, κρήνην δὲ μεγάλην τινὰ ἐν στενοχωρίᾳ
unwalled being spring but great some in narrow-place
πολλῇ ἔχουσα.
much having
ταύτην Ἀλθίας τὴν κρήνην καταλαβεῖν ἔγνω, λογισάμενος 13.6
this Althias the spring to-seize decided having-reckoned
ὡς δίψῃ ἀναγκαζόμενοι ἐνταῦθά πως ἀφίξονται οἱ
that by-thirst being-compelled there somehow will-come the
πολέμιοι· ἄλλο γὰρ ὕδωρ ἄγχιστά πη ὡς ἥκιστά ἐστι.
enemies other for water nearest somewhere as least is
πᾶσι μὲν οὖν τὸ τοῦ πλήθους ἐκλογιζομένοις παράλογον 13.7
to-all indeed then the of-the number reckoning disproportion
ἔδοξε μανιώδης αὐτοῦ ἡ ἔννοια εἶναι.
seemed mad his the notion to-be

13.8 οἱ δὲ Μαυρούσιοι κόπῳ τε πολλῷ καὶ πνίγει μεγάλῳ
the but Moors with-toil both much and with-heat great
θέρους ὥρᾳ ὡμιληκότες, δίψῃ τε, ὡς τὸ εἰκός, ἀπ᾽
of-summer in-season having-met with-thirst and as the likely from
αὐτοῦ μεγίστῃ ἐχόμενοι, παρὰ τὴν κρήνην δρόμῳ πολλῷ
it greatest being-gripped to the spring at-a-run great
ἦλθον, οὐδὲν ἐναντίωμα ἐν νῷ ἔχοντες.
came no opposition in mind having

13.9 ἐπειδὴ δὲ τὸ ὕδωρ πρὸς τῶν πολεμίων ἐχόμενον εὗρον,
when and the water by the enemies held they-found
ἀπορούμενοι ξύμπαντες ἔστησαν, τοῦ πλείστου τῆς ἰσχύος
being-at-a-loss all stood the greatest of-the strength
ἤδη δαπανηθέντος σφίσι τῇ τοῦ ὕδατος ἐπιθυμίᾳ.
already having-been-spent for-them in-the of-the water desire

13.10 διὸ δὴ Ἰαύδας τῷ Ἀλθίᾳ εἰς λόγους ἥκων τὸ
wherefore indeed Iaudas — with-Althias into words coming the
τριτημόριόν οἱ δώσειν ὡμολόγει τῆς λείας, ἐφ᾽ ᾧ
third-part to-him to-give agreed of-the booty on which
δὴ Μαυρούσιοι πίωσιν ἅπαντες.
indeed Moors might-drink all

13.11 ὁ δὲ τὸν μὲν λόγον ἐνδέχεσθαι οὐδαμῇ ἤθελε,
he and the indeed proposal to-accept in-no-way wished
μονομαχεῖν δὲ πρὸς αὐτὸν ὑπὲρ τούτων ἠξίου.
to-fight-in-single-combat but against him for these(-things) he-claimed

13.12 τοῦ δὲ Ἰαύδα ταύτην δὴ δεξαμένου τὴν πρόκλησιν,
— and Iaudas this indeed having-accepted the challenge
ξυνέκειτο ἡσσηθέντος, ἂν οὕτω τύχῃ, τοῦ Ἀλθία
it-was-agreed defeated — so it-chance — Althias
Μαυρουσίους πιεῖν.
Moors to-drink

ἔχαιρέ τε ἅπας ὁ τῶν Μαυρουσίων στρατός, εὐέλπιδες 13.13
rejoiced both all the of-the Moors army hopeful
ὄντες, ἐπεὶ Ἀλθίας μὲν ἰσχνός τε ἦν καὶ οὐ μέγας τὸ
being since Althias indeed lean both was and not big in-the
σῶμα, Ἰαύδας δὲ κάλλιστός τε ἦν καὶ μαχιμώτατος
body Iaudas and most-handsome both was and most-warlike
Μαυρουσίων ἁπάντων.
of-Moors all
ἄμφω μὲν οὖν ἱππεῖς ἐτύγχανον ὄντες. ὁ δὲ Ἰαύδας 13.14
both indeed then horsemen happened being — and Iaudas
τὸ δοράτιον ἠκόντισε πρῶτος, οὗπερ Ἀλθίας ἐπ᾽ αὐτὸν
the javelin hurled first which Althias at him
ἰόντος χειρὶ λαβέσθαι τῇ δεξιᾷ παρὰ δόξαν ἰσχύσας
coming with-hand to-catch the right beyond expectation having-been-strong
Ἰαύδαν τε καὶ τοὺς πολεμίους κατέπληξε.
Iaudas both and the enemies struck-with-amazement
τῇ δὲ λαιᾷ χειρὶ τὸ τόξον ἐντείνας αὐτίκα, ἐπεὶ 13.15
with-the and left hand the bow having-drawn at-once since
ἀμφιδέξιος ἦν, τὸν Ἰαύδα ἵππον βαλὼν ἔκτεινε.
ambidextrous he-was the of-Iaudas horse having-shot killed
πεσόντος τε αὐτοῦ ἵππον ἕτερον τῷ ἄρχοντι Μαυρούσιοι 13.16
having-fallen and it horse another for-the commander Moors
ἦγον, ἐφ᾽ ὃν ἀναθορὼν Ἰαύδας εὐθὺς ἔφυγε· καί οἱ
brought onto which having-leapt Iaudas straightway fled and him
κόσμῳ οὐδενὶ ὁ τῶν Μαυρουσίων στρατὸς εἵπετο.
with-order no the of-the Moors army followed
ὅ τε Ἀλθίας τούς τε αἰχμαλώτους καὶ τὴν λείαν 13.17
— both Althias the both captives and the booty
ἀφελόμενος ξύμπασαν ὄνομα μέγα ἐκ τοῦ ἔργου τούτου
having-taken-away whole (a)-name great from the deed this
ἀνὰ πᾶσαν Λιβύην ἔσχε. ταῦτα μὲν οὖν τῇδε ἐχώρησε.
throughout all Libya had these(-things) indeed then thus went

13.18 Σολόμων δὲ ἐν Καρχηδόνι ὀλίγον τινὰ διατρίψας χρόνον,
Solomon and in Carthage little some having-spent time
ἐπί τε ὄρος τὸ Αὐράσιον καὶ Ἰαύδαν ἐπῆγε τὸ
against both mountain — Aurasium and Iaudas led the
στράτευμα, ἐπενεγκὼν αὐτῷ ὅτι, ἡνίκα ὁ Ῥωμαίων
army having-charged him that when the of-Romans
στρατὸς τὴν ἐν Βυζακίῳ ἀσχολίαν εἶχε, πολλὰ
army the in Byzacium occupation had much(-things)
ἐληίσατο τῶν ἐν Νουμιδίᾳ χωρίων. καὶ ἦν δὲ οὕτως.
he-had-plundered of-the in Numidia places and it-was too so
13.19 ὥρμων δὲ Σολόμωνα ἐπὶ τὸν Ἰαύδαν Μαυρουσίων
urged and Solomon against — Iaudas of-Moors
ἄρχοντες ἕτεροι, Μασσωνᾶς τε καὶ Ὀρταΐας, τῆς σφετέρας
commanders other Massonas both and Ortaias the their-own
ἔχθρας ἕνεκα· Μασσωνᾶς μέν, ὅτι οἱ τὸν πατέρα
enmity for-the-sake-of Massonas indeed because his the father
Μεφανίαν κηδεστὴς ὢν Ἰαύδας δόλῳ ἔκτεινεν, ὁ δὲ ἕτερος,
Mephanias father-in-law being Iaudas by-guile had-killed the and other
ὅτι ξὺν τῷ Μαστίνᾳ, ὃς τῶν ἐν Μαυριτανίᾳ βαρβάρων
because with — Mastigas who of-the in Mauretania barbarians
ἡγεῖτο, ἐξελάσαι αὐτόν τε καὶ Μαυρουσίους, ὧν ἦρχεν,
was-leader to-drive-out him both and Moors whom he-ruled
ἐκ τῆς χώρας ἐβούλευσεν, ἔνθα δὴ ἐκ παλαιοῦ ᾤκηντο.
from the land he-had-plotted where indeed from of-old they-had-dwelt
13.20 ὁ μὲν οὖν Ῥωμαίων στρατός, ἡγουμένου αὐτοῖς
the indeed then of-Romans army leading them
Σολόμωνος, καὶ Μαυρουσίων ὅσοι σφίσιν ἐς ξυμμαχίαν
Solomon and of-Moors as-many-as to-them for alliance
ἦλθον, ἐστρατοπεδεύσαντο ἐς ποταμὸν Ἀβίγαν, ὃς τὸ
came encamped at (the)-river Abigas which —
Αὐράσιον παραρρέων ἀρδεύει τὰ ἐκείνῃ χωρία.
Aurasium flowing-past waters the there places

τῷ δὲ Ἰαύδᾳ ἐς μὲν τὸ πεδίον τοῖς πολεμίοις ἀντιτάξασθαι 13.21
— *and to-Iaudas to indeed the plain the enemies to-be-drawn-up-against*
ἀξύμφορον εἶναι ἐφαίνετο, τὰ δὲ ἐν Αὐρασίῳ ἐξηρτύετο
disadvantageous to-be appeared the(-things) but in Aurasium he-prepared
ὅπη οἱ ἐδόκει τοῖς ἐπιοῦσιν ὡς δυσκολώτατα ἔσεσθαι.
as to-him it-seemed for-the(-ones) attacking as most-difficult to-be
τοῦτο δὲ τὸ ὄρος ἡμερῶν μὲν ὁδῷ δέκα καὶ τριῶν 13.22
this and the mountain of-days indeed by-road ten and three
μάλιστα Καρχηδόνος διέχει, μέγιστον δὲ ἁπάντων ἐστὶν
about from-Carthage is-distant greatest and of-all is
ὧν ἡμεῖς ἴσμεν.
which we know
ἡμερῶν γὰρ τριῶν ἐνταῦθα εὐζώνῳ ἀνδρὶ περίοδός 13.23
of-days for three there for-(a)-lightly-equipped man (the)-circuit
ἐστι. καὶ τῷ μὲν ἐς αὐτὸ ἰέναι βουλομένῳ δύσοδόν τέ
is and to-the indeed into it to-go wishing hard-to-approach both
ἐστι καὶ δεινῶς ἄγριον, ἄνω δὲ ἥκοντι καὶ ἐν τῷ ὁμαλεῖ
it-is and terribly wild above but having-come and on the level
γενομένῳ πεδία τε φαίνεται καὶ κρῆναι πολλαὶ ποταμούς τε
having-arrived plains both appear and springs many rivers both
ποιοῦσαι καὶ παραδείσων πολύ τι χρῆμα θαυμάσιον οἷον.
making and of-orchards much some thing wonderful such-as
καὶ ὅ τε σῖτος, ὃς ἐνταῦθα φύεται, ἥ τε ὀπώρα 13.24
and the both grain which there grows the both fruit
ἑκάστη διπλασία τὸ μέγεθός ἐστιν ἢ ἐν τῇ ἄλλῃ
each double in-the size is than in the other
ἁπάσῃ Λιβύῃ γίνεσθαι πέφυκεν.
all Libya to-grow is-wont
ἔστι δὲ καὶ φρούρια ἐνταῦθά πη ἀπημελημένα, τῷ 13.25
are and also fortresses there somewhere neglected by-the
μὴ δοκεῖν ἀναγκαῖα τοῖς ταύτῃ ᾠκημένοις εἶναι.
not to-seem necessary to-the(-ones) there dwelling to-be

13.26 ἐξ ὅτου γὰρ τὸ Αὐράσιον Μαυρούσιοι Βανδίλους
from when for — Aurasium Moors from-Vandals
ἀφείλοντο, οὐδείς πω ἐς αὐτὸ πολέμιος ἦλθεν οὐδὲ
took-away no yet into it enemy came nor
ἐς δέος τοὺς βαρβάρους κατέστησεν, ἀλλὰ καὶ πόλιν
into fear the barbarians put but also (a)-city
Ταμούγαδιν, ἣ πρὸς τῷ ὄρει ἐν ἀρχῇ τοῦ πεδίου
Tamugadis which toward the mountain at (the)-beginning of-the plain
πρὸς ἀνίσχοντα ἥλιον πολυάνθρωπος οὖσα ᾤκητο, ἔρημον
toward rising sun populous being was-inhabited empty
ἀνθρώπων οἱ Μαυρούσιοι ποιησάμενοι ἐς ἔδαφος καθεῖλον,
of-men the Moors having-made to (the)-ground pulled-down
ὅπως μὴ ἐνταῦθα ᾖ δυνατὰ ἐνστρατοπεδεύσασθαι
so-that not there it-might-be possible to-encamp
τοῖς πολεμίοις, ἀλλὰ μηδὲ κατὰ πρόφασιν τῆς πόλεως
for-the enemies but not-even on pretext of-the city
ἄγχι ἐς τὸ ὄρος ἰέναι.
near to the mountain to-go

13.27 εἶχον δὲ οἱ ταύτῃ Μαυρούσιοι καὶ τὴν πρὸς ἑσπέραν
held and the there Moors also the toward west
τοῦ Αὐρασίου χώραν, πολλήν τε καὶ ἀγαθὴν οὖσαν.
— of-Aurasium land much both and good being

13.28 καὶ τούτων ἐπέκεινα Μαυρουσίων ἔθνη ἕτερα ᾤκηντο,
and these beyond of-Moors nations other dwelt
ὧν ἦρχεν Ὀρταΐας, ὃς Σολόμωνί τε καὶ Ῥωμαίοις, ὡς
whom ruled Ortaias who to-Solomon both and to-Romans as
ἔμπροσθεν ἐρρήθη, ξύμμαχος ἦλθε.
before was-said (an)-ally came

13.29 τούτου τοῦ ἀνθρώπου ἐγὼ λέγοντος ἤκουσα ὡς ὑπὲρ τὴν
this the man I saying heard that beyond the
χώραν, ἧς αὐτὸς ἄρχοι, οὐδένες ἀνθρώπων οἰκοῦσιν,
land which he-himself ruled no-ones of-men dwell

ἀλλὰ γῆ ἔρημος ἐπὶ πλεῖστον διήκει, ταύτης τε ἐπέκεινα
but land desert for most extends this and beyond
ἄνθρωποί εἰσιν οὐχ ὥσπερ οἱ Μαυρούσιοι μελανόχροοι,
men are not as the Moors black-skinned
ἀλλὰ λευκοί τε λίαν τὰ σώματα καὶ τὰς κόμας ξανθοί.
but white both very in-the bodies and the hair fair
ταῦτα μὲν δὴ ὧδέ πη ἔχει.
these(-things) indeed indeed thus somehow are
Σολόμων δὲ Μαυρουσίων τε τοὺς ξυμμάχους δωρησάμενος 13.30
Solomon and of-Moors both the allies having-presented
χρήμασι μεγάλοις καὶ πολλὰ παρακελευσάμενος παντὶ
with-money great and many(-things) having-exhorted with-all
τῷ στρατῷ ἐς ὄρος τὸ Αὐράσιον ὡς ἐς μάχην
the army to mountain — Aurasium as for battle
διατεταγμένος ἀνέβαινεν, οἰόμενος ἐκείνῃ τῇ ἡμέρᾳ τοῖς
drawn-up went-up thinking on-that the day with-the
τε πολεμίοις διὰ μάχης ἰέναι καὶ ἀπ᾽ αὐτῶν διακρίνεσθαι,
both enemies through battle to-go and from them to-be-decided
ὅπη ἂν ᾖ βουλομένῃ τῇ τύχῃ.
as — might-be wishing the fortune
οὐ γὰρ οὖν οὐδὲ τροφάς, ὅτι μὴ ὀλίγας, σφίσι τε 13.31
not for then not-even provisions except — few for-themselves both
καὶ τοῖς ἵπποις τοῖς σφετέροις οἱ στρατιῶται ἐπήγοντο.
and for-the horses the their-own the soldiers brought
πορευθέντες δὲ ἐν δυσχωρίᾳ πολλῇ πεντήκοντα μάλιστα 13.32
having-marched and in rough-country much fifty about
σταδίους ηὐλίσαντο.
stades they-bivouacked
τοσαύτην τε ὁδὸν ἐς ἡμέραν ἑκάστην ἀνύοντες ἑβδομαῖοι 13.33
so-much both road for day each accomplishing on-the-seventh-day
ἀφικνοῦνται ἐς χῶρον, ἔνθα φρούριόν τε παλαιὸν ἦν καὶ
they-arrive at (a)-place where fortress both old was and

ποταμός τις ἀένναος. Ὄρος Ἀσπίδος τῇ σφετέρᾳ
river (a)-certain ever-flowing Mountain of-(the)-Shield in-the their-own
γλώσσῃ καλοῦσι Λατῖνοι τὸν χῶρον.
tongue call Latins the place

13.34 ἐνταῦθα σφίσι στρατοπεδεύεσθαι ἠγγέλλοντο οἱ πολέμιοι,
there for-them to-be-encamped were-reported the enemies
καὶ ἐπειδὴ ἐν τῷ χωρίῳ τούτῳ ἐγένοντο πολέμιόν τε
and when in the place this they-came hostile both
οὐδὲν ἀπήντα, στρατοπεδευσάμενοι καὶ ὡς ἐς μάχην
nothing met(-them) having-encamped and as for battle
παρασκευασάμενοι αὐτοῦ ἔμενον, ἡμερῶν τε αὐτοῖς
having-prepared there remained of-days both for-them
ἐνταῦθα τριῶν χρόνος ἐτρίβη.
there three time was-spent

13.35 ὡς δὲ οἵ τε πολέμιοι τὸ παράπαν σφίσιν ἐκποδὼν
when and the both enemies the altogether from-them out-of-the-way
ἵσταντο καὶ τὰ ἐπιτήδεια ἐπελελοίπει, ἐνθύμιον Σολόμωνί
stood and the provisions had-failed (a)-thought to-Solomon
τε καὶ τῇ στρατιᾷ πάσῃ ἐγένετο, ὡς ἄρα τις πρὸς
both and to-the army whole came that after-all some by
Μαυρουσίων τῶν ξυμμάχων ἐπιβουλὴ ἐς αὐτοὺς γίνοιτο·
Moors the allies plot against them might-be

13.36 οἵ γε, καίπερ οὐκ ἀμελετήτως τῆς ἐν Αὐρασίῳ πορείας
who indeed although not unpracticed of-the in Aurasium marching
ἔχοντες, ἐπιστάμενοί τε, ὡς τὸ εἰκός, ὅσα τοῖς
being knowing both as the likely as-much-as by-the
πολεμίοις βεβουλευμένα ἐτύγχανεν, ἐς ἑκάστην μὲν αὐτοῖς
enemies resolved happened-to-be to each indeed them
ἡμέραν λάθρα ἐπειγόμενοι, ὥσπερ ἐλέγετο, πολλάκις δὲ
day secretly hastening as was-said often and
καὶ κατασκοπῆς ἕνεκα ἐς αὐτοὺς πρὸς Ῥωμαίων
also of-spying for-the-sake against them by Romans

σταλέντες, οὐδὲν ἀγγεῖλαι ὑγιὲς ἔγνωσαν, ὅπως δὴ μὴ
sent nothing to-report sound decided so-that indeed not
προμαθόντες τροφάς τε σφίσιν ἐς χρόνον πλείω
having-learned-beforehand provisions both for-themselves for time longer
ἔχοντες ἐς ὄρος τὸ Αὐράσιον ἀναβαίνοιεν καὶ τὰ
having to mountain — Aurasium they-might-go-up and the
ἄλλα παρασκευάσαιντο ὅπη ἄριστα ἔσεσθαι ἔμελλεν.
other(-things) they-might-prepare as best to-be was-likely
ὅλως δὲ ἐνέδραν σφίσι πρὸς ἀνδρῶν ξυμμάχων γεγενῆσθαι 13.37
wholly and (an)-ambush for-them by men allies to-have-been-made
ὑποτοπήσαντες ἐς δέος ἦλθον, λογιζόμενοι ὡς ἄπιστοι
having-suspected into fear they-came reckoning that faithless
λέγονται εἶναι Μαυρούσιοι φύσει, ἄλλως τε ἡνίκα Ῥωμαίοις
are-said to-be Moors by-nature especially — when to-Romans
ἢ ἄλλοις τισὶ ξυμμαχοῦντες ἐπὶ Μαυρουσίους στρατεύονται.
or others some fighting-as-allies against Moors they-march
ὧν δὴ ἐνθυμηθέντες, ἅμα δὲ καὶ λιμῷ 13.38
which(-things) indeed having-taken-to-heart at-the-same(-time) and also by-famine
πιεζόμενοι, ἐνθένδε τε κατὰ τάχος ἀναχωροῦσιν ἄπρακτοι
being-pressed thence both with speed withdraw unsuccessful
καὶ ἐς τὸ πεδίον ἀφικόμενοι χαράκωμα ἐποιήσαντο.
and to the plain having-come (a)-stockade made
Μετὰ δὲ Σολόμων τοῦ στρατοῦ μοίραν τινα φυλακῆς 13.39
after and Solomon of-the army part some of-guard
ἕνεκα ἐν Νουμιδίᾳ καταστησάμενος (χειμὼν γὰρ ἤδη
for-the-sake in Numidia having-posted winter for already
ἦν) ξὺν τοῖς ἐπιλοίποις ἐς Καρχηδόνα ᾔει.
was with the remaining to Carthage went
ἔνθα δὴ ἕκαστα διεῖπέ τε καὶ διεκόσμει, ὅπως 13.40
there indeed each(-thing) he-arranged both and set-in-order so-that
ἅμα ἦρι ἀρχομένῳ πλείονι παρασκευῇ καί, ἢν
at-the-same(-time) with-spring beginning with-greater preparation and if

δύνηται, ξυμμάχων Μαυρουσίων ἐκτὸς ἐπὶ τὸ Αὐράσιον
he-could of-allies Moorish without against — Aurasium
αὖθις στρατεύοι.
again he-might-march

13.41 ἅμα δὲ καὶ στρατηγούς τε καὶ στρατιὰν ἄλλην
at-the-same(-time) and also generals both and army another
καὶ νηῶν στόλον ἐπὶ Μαυρουσίους ἐξηρτύετο, οἳ ἐν
better seemly both the silence obtains and into
λήθην ὡς τὰ πολλὰ περιίσταται.
forgetfulness as the most(-part) comes-round
καίτοι, ἢν μὲν ὀλιγωρίᾳ τινὶ ἐς τούτους δὴ τοὺς 16.20
and-yet if indeed negligence some toward these indeed the
καταράτους τὰ νῦν χρήσησθε, ὕστερον δὲ πολλοὺς
accursed the now you-should-show later and many
πολέμους ὑπὲρ Ῥωμαίων ἀγωνιζόμενοι τὸ κατὰ τῶν
wars for Romans contending the over the
πολεμίων πολλάκις ἀναδήσησθε κράτος, οὐκ ἂν ἔτι
enemies often you-should-bind-on mastery not — any-longer
ὁμοίως ἀνθυπουργηκέναι βασιλεῖ δόξαιτε.
equally to-have-repaid-the-service to-(the)-emperor you-would-seem

16.21 οἱ γὰρ ἐν αὐτοῖς εὐδοκιμοῦντες οἷς ἥμαρτον
the(-ones) for in the-very(-things) gaining-good-repute in-which they-erred
εὐπρεπεστέραν τὴν ἀπολογίαν ἐς ἀεὶ φέρονται. τὰ μὲν
more-seemly the defense for ever carry-off the indeed
οὖν ἐς βασιλέα ταύτῃ πη λογιζέσθω ὑμῶν ἕκαστος.
then toward (the)-emperor thus somehow let-reckon of-you each
16.22 ἐγὼ δὲ οὔτε ἀδικίας τινὸς εἰς ὑμᾶς ἄρξας, ἐνδειξάμενός
I and neither of-wrong any toward you having-begun having-displayed
τε πάσῃ δυνάμει τὴν εἰς ὑμᾶς εὔνοιαν, καὶ τανῦν
both with-all power the toward you goodwill and now
καθιστάμενος ἐς κίνδυνον τόνδε, τοσοῦτον αἰτεῖσθαι
entering into danger this so-much to-ask
ἅπαντας ἔγνωκα· μηδεὶς ξὺν ἡμῖν ἐπὶ τοὺς πολεμίους
all I-have-decided no-one with us against the enemies
παρὰ γνώμην χωρείτω.
against (his)-will let-advance
16.23 ἀλλ᾽ εἴ τῳ ὑμῶν ἐκείνοις ἤδη βουλομένῳ ἐστὶ
but if to-anyone of-you with-them already wishing it-is
ξυντάττεσθαι, μηδὲν μελλήσας ξὺν τοῖς ὅπλοις ἐπὶ τὸ τῶν
to-be-ranged nothing having-delayed with the arms to the of-the
ἐναντίων στρατόπεδον ἴτω, τοῦτο μόνον ἡμῖν χαριζόμενος,
opponents camp let-him-go this only to-us granting
ὅτι οὐ λάθρα ἡμᾶς, ἀλλ᾽ ἐκ τοῦ ἐμφανοῦς ἀδικεῖν ἔγνω.
that not secretly us but from the open to-wrong he-decided
16.24 τούτου γὰρ ἕνεκα οὐκ ἐν Καρχηδόνι, ἀλλ᾽ ἐν
of-this for for-the-sake not in Carthage but in
μεταιχμίῳ γενόμενος τοὺς λόγους ποιοῦμαι, ὅπως
(the)-space-between-the-armies having-come the words I-make so-that
ἂν μηδενὶ αὐτομολεῖν ἐς τοὺς ἐναντίους ἐθέλοντι ἐμπόδιος
— to-no-one to-desert to the opponents wishing (a)-hindrance

εἴην, παρὸν ἅπασι κινδύνου ἐκτὸς τὴν ἐς τὴν
I-may-be it-being-possible for-all danger outside the toward the
πολιτείαν ἐνδείκνυσθαι γνώμην."
commonwealth to-show judgment
Γερμανὸς μὲν τοσαῦτα εἶπε. ταραχὴ δὲ πολλὴ ἐν τῷ 16.25
Germanus indeed so-much said confusion and much in the
Ῥωμαίων στρατῷ γέγονεν, ἐπεὶ πρῶτος ἠξίου αὐτὸς
of-Romans army arose since first claimed himself
ἕκαστος εὔνοιάν τε τὴν ἐς βασιλέα τῷ στρατηγῷ
each goodwill both the toward (the)-emperor to-the general
ἐπιδείξασθαι καὶ ὅρκους δεινοτάτους ὑπὲρ τούτων ὀμεῖσθαι.
to-display and oaths most-terrible for these(-things) to-swear

XVIII · SCALAE VETERES AND SOLOMON'S RETURN

At Scalae Veteres Stotzas routs John's wing, but Germanus, sword drawn, turns the battle; in the confusion his men ask each man the watchword, and Stotzas escapes to Mauretania. Maximinus plots a new rising and is impaled. Solomon returns, governs well, and walls the cities. He marches on Iaudas; Moors flood his advance guard's camp from the Abigas, and he takes Zerbule when its chiefs fall to arrows.

Χρόνον μὲν οὖν τινα ἑκάτεροι ἀλλήλοις ἀντικαθήμενοι 17.1
time indeed then some both-sides one-another sitting-opposite
ἔμενον. μετὰ δὲ οἱ στασιῶται οὐδὲν σφίσι προχωροῦν
remained after and the mutineers nothing for-them going-forward
ἐνορῶντες ὧν προὔλεγε Στότζας, ἔδεισάν τε ἅτε
seeing of-what foretold Stotzas feared both as
τῆς ἐλπίδος παρὰ δόξαν ψευσθέντες, καὶ τὴν τάξιν
of-the hope beyond expectation having-been-cheated and the formation

διαλύσαντες ἀνεχώρησαν, ἔς τε Νουμίδας ἀπήλαυνον, οὗ
having-broken-up withdrew to both Numidians rode-off where
δὴ αὐτοῖς αἵ τε γυναῖκες καὶ τῆς λείας χρήματα ἦσαν.
indeed for-them the both wives and of-the booty money were
17.2 ἔνθα καὶ ὁ Γερμανὸς παντὶ τῷ στρατῷ οὐκ ἐς μακρὰν
there also — Germanus with-all the army not at long
ἦλθε, τά τε ἄλλα παρεσκευασμένος ὡς ἄριστα καὶ
came the both other(-things) having-prepared as best and
ἁμάξας πολλὰς τῷ στρατοπέδῳ ἐπαγαγόμενος.
wagons many for-the camp bringing
17.3 καταλαβών τε τοὺς ἐναντίους ἐν χωρίῳ, ὃ δὴ Σκάλας
having-overtaken both the opponents in (a)-place which indeed Scalae
Βέτερες καλοῦσι Ῥωμαῖοι, τὰ ἐς τὴν παράταξιν
Veteres call Romans the(-things) for the battle-line
ἐξηρτύετο τρόπῳ τοιῷδε.
prepared in-way such
17.4 τὰς ἁμάξας μετωπηδὸν στήσας τοὺς πεζοὺς πάντας κατ᾽
the wagons in-front having-set the foot-soldiers all along
αὐτὰς ἔταξεν, ὧν Δόμνικος ἦρχεν, ὅπως τὰ νῶτα ἐν
them drew-up whom Domnicus commanded so-that the backs in
τῷ ἀσφαλεῖ ἔχοντες θαρσήσωσι μᾶλλον.
the safe having they-might-take-courage more
17.5 τῶν δὲ ἱππέων ἄνδρας τε ἀρίστους καὶ τοὺς ἐκ
of-the and horsemen men both best and the(-ones) from
Βυζαντίου ξὺν αὐτῷ ἥκοντας αὐτὸς ἐν ἀριστερᾷ τῶν
Byzantium with him having-come himself on (the)-left of-the
πεζῶν εἶχε, τοὺς δὲ ἄλλους ἅπαντας ἐς κέρας τὸ δεξιὸν οὐ
foot-soldiers held the and others all on wing the right not
ξυντεταγμένους, ἀλλὰ κατὰ λόχους τρεῖς μάλιστα ἔστησε.
ranged-together but by companies three about he-set

καὶ αὐτῶν Ἰλδίγερ μὲν ἑνὸς ἡγεῖτο, ἑτέρου δὲ Θεόδωρος 17.6
and of-them Ildiger indeed one led (the)-second and Theodore
ὁ Καππαδόκης, τοῦ δὲ λειπομένου, μείζονος ὄντος,
the Cappadocian the and remaining greater being
Ἰωάννης ὁ Πάππου ἀδελφός, τέταρτος αὐτός. οὕτω μὲν
John the of-Pappus brother fourth himself thus indeed
Ῥωμαῖοι ἐτάξαντο.
Romans drew-up
οἱ δὲ στασιῶται ἀντίξοοι μὲν αὐτοῖς ἔστησαν, οὐκ 17.7
the and mutineers opposite indeed to-them stood not
ἐν κόσμῳ μέντοι ταξάμενοι, ἀλλὰ βαρβαρικώτερον
in order however having-drawn-up but more-barbarously
ἐσκεδασμένοι.
scattered
εἵποντο δὲ αὐτοῖς οὐ μακρὰν ἄποθεν Μαυρουσίων μυριάδες 17.8
followed and them not far away of-Moors myriads
πολλαί, ὧν ἄλλοι τε πολλοὶ καὶ Ἰαύδας καὶ Ὀρταΐας
many whom others both many and Iaudas and Ortaias
ἦρχον.
led
οὐ μέντοι ἅπαντες πιστοὶ τοῖς ἀμφὶ τὸν Στότζαν 17.9
not however all faithful to-the(-ones) about — Stotzas
ἐτύγχανον ὄντες, ἀλλὰ πολλοὶ παρὰ Γερμανὸν πέμποντες
happened being but many to Germanus sending
πρότερον ὡμολόγουν, ἐπειδὰν ἐν τῷ ἔργῳ γένωνται, ξὺν
before agreed when in the action they-should-be with
τῷ βασιλέως στρατῷ ἐπὶ τοὺς πολεμίους τετάξεσθαι.
the of-(the)-emperor army against the enemies to-be-ranged

17.10 οὐ μὴν αὐτοῖς πιστεύειν παντάπασιν ὁ Γερμανὸς εἶχεν,
not however them to-trust altogether — Germanus could
ἐπεὶ ἄπιστον φύσει τὸ Μαυρουσίων γένος ἐστὶν ἐς
since faithless by-nature the of-Moors race is toward
πάντας ἀνθρώπους.
all men

17.11 διὸ δὴ οὐδὲ ξὺν τοῖς στασιώταις ἐτάξαντο, ἀλλ᾽
wherefore indeed not-even with the mutineers they-drew-up but
ὄπισθεν ἔμενον, καραδοκοῦντες τὸ ἐσόμενον, ὅπως
behind remained awaiting the(-thing) to-be so-that
ξὺν τοῖς νικήσουσι καὶ αὐτοὶ τὴν δίωξιν ἐπὶ τοὺς
with the(-ones) about-to-win also themselves the pursuit against the(-ones)
ἡσσημένους ποιήσωνται.
defeated they-might-make

17.12 Μαυρούσιοι μὲν τοιαύτῃ γνώμῃ οὐκ ἀναμιγνύμενοι τοῖς
Moors indeed with-such purpose not mingling with-the
στασιώταις ὄπισθεν εἵποντο.
mutineers behind followed

17.13 Στότζας δὲ ἄγχιστά πη τῶν πολεμίων γενόμενος,
Stotzas and nearest somewhere to-the enemies having-come
ἐπειδὴ σημεῖον τὸ Γερμανοῦ εἶδε, τοῖς παροῦσιν
when standard the of-Germanus he-saw the(-ones) present
ἐγκελευσάμενος ἐπ᾽ αὐτὸν ᾔει.
having-exhorted against him went

17.14 Ἔρουλοι δὲ, ὅσοι στασιῶται ἀμφ᾽ αὐτὸν τεταγμένοι
Erulians but as-many-as mutineers about him drawn-up
ἐτύγχανον, οὐδὲ εἵποντο, ἀλλὰ καὶ παντὶ σθένει ἐκώλυον,
happened not-even followed but also with-all strength hindered(-him)
φάσκοντες οὐκ εἰδέναι μὲν τὴν Γερμανοῦ δύναμιν, ὁποία
saying not to-know indeed the of-Germanus force of-what-sort

ποτέ ἐστιν, ἐξεπίστασθαι μέντοι ὡς οὐδαμῇ σφίσιν ἀνθέξουσιν
ever it-is to-know-well however that in-no-way them will-withstand
ὅσοι ἐς κέρας τὸ δεξιὸν τῶν πολεμίων ἐτάξαντο.
as-many-as on wing the right of-the enemies were-drawn-up
ἢν μὲν οὖν ἐπ᾽ ἐκείνους χωρήσαιεν, αὐτοί τε οὐχ 17.15
if indeed then against those they-should-advance they both not
ὑποστάντες ἐς φυγὴν τρέψονται καὶ τὸ ἄλλο στράτευμα,
having-withstood to flight will-turn and the other army
ὡς τὸ εἰκός, συνταράξουσιν· ἢν δέ γε σφᾶς ἀπωσάμενος
as the likely will-throw-into-confusion if but at-least them having-pushed-back
Γερμανὸς τρέψηται, ἅπαντα σφίσι διαφθαρήσεται αὐτίκα
Germanus should-rout all(-things) for-them will-be-ruined at-once
δὴ μάλα τὰ πράγματα.
indeed very the affairs
τούτοις ὁ Στότζας ἀναπεισθεὶς τοὺς μὲν ἄλλους τοῖς 17.16
by-these — Stotzas having-been-persuaded the indeed others with-the(-ones)
ἀμφὶ Γερμανὸν μάχεσθαι εἴασεν, αὐτὸς δὲ ξὺν τοῖς ἀρίστοις
about Germanus to-fight allowed himself and with the best
ἐπί τε Ἰωάννην καὶ τοὺς ξὺν αὐτῷ τεταγμένους ᾔει.
against both John and the(-ones) with him drawn-up went
οἱ δὲ οὐχ ὑποστάντες κόσμῳ οὐδενὶ ἐς φυγὴν ὥρμηντο. 17.17
they and not having-withstood with-order no to flight rushed
οἵ τε στασιῶται πάντα μὲν τὰ σημεῖα αὐτῶν εὐθὺς
the both mutineers all indeed the standards their straightway
ἔλαβον, φεύγοντας δὲ ἀνὰ κράτος ἐδίωκον, τινὲς δὲ καὶ
took fleeing(-them) and with might pursued some and also
ἐπὶ τοὺς πεζοὺς ἤλαυνον, ἤδη τε τὴν τάξιν ἐκλείπειν
against the foot-soldiers drove already both the formation to-abandon
οἱ πεζοὶ ἤρξαντο.
the foot-soldiers began

17.18 ἐν τούτῳ δὲ Γερμανὸς αὐτός τε τὸ ξίφος σπασάμενος
in this and Germanus himself both the sword having-drawn
καὶ ἅπαν τὸ ταύτῃ στράτευμα ἐς τοῦτο ὁρμήσας, πόνῳ
and all the there army to this having-urged with-toil
τε πολλῷ τοὺς κατ᾽ αὐτὸν στασιώτας ἐτρέψατο καὶ
both much the opposite him mutineers routed and
δρόμῳ ἐπὶ τὸν Στότζαν ἐχώρησε.
at-a-run against — Stotzas advanced

17.19 τούτου δέ οἱ ἐνταῦθα τοῦ ἔργου καὶ τῶν ἀμφὶ Ἰλδίγερά
this and him there the work also the(-ones) about Ildiger
τε καὶ Θεόδωρον ξυναραμένων, οὕτως ἀλλήλοις ἑκάτεροι
both and Theodore having-taken-a-hand so with-one-another both
ἀνεμίγνυντο, ὥστε διώκοντες οἱ στασιῶται τῶν τινας
were-mingled that pursuing the mutineers of-the some
πολεμίων ὑφ᾽ ἑτέρων καταλαμβανόμενοι ἔθνησκον.
enemies by others being-caught died

17.20 τῆς τε ξυγχύσεως ἐπὶ μέγα χωρούσης οἱ μὲν ἀμφὶ
the both confusion to great going the(-ones) indeed about
Γερμανόν, ὄπισθεν ἰόντες, ἔτι μᾶλλον ἐνέκειντο, οἱ δὲ
Germanus behind coming still more pressed-on the but
στασιῶται ἐς πολὺ δέος ἐμπεπτωκότες οὐκέτι ἐς ἀλκὴν
mutineers into much fear having-fallen no-longer to resistance
ἔβλεπον.
looked

17.21 ἔνδηλοι μέντοι οὐδέτεροι οὔτε σφίσιν αὐτοῖς οὔτε
distinguishable however neither neither to-them selves nor
ἀλλήλοις ἐγίνοντο. μιᾷ τε γὰρ φωνῇ καὶ τῇ αὐτῇ
to-one-another were with-one both for voice and with-the same
τῶν ὅπλων σκευῇ οἱ πάντες ἐχρῶντο, οὔτε μορφῇ τινι
of-the arms equipment the all used neither in-form any
οὔτε σχήματι οὔτε ἄλλῳ ὁτῳοῦν διαλλάσσοντες.
nor in-dress nor in-other any differing

διὸ δὴ Γερμανοῦ γνώμῃ οἱ τοῦ βασιλέως στρατιῶται, 17.22
wherefore indeed by-Germanus' will the of-the emperor soldiers
ὅτου ἂν λάβοιντο, ἐπυνθάνοντο ὅστις ποτὲ εἴη·
whomever — they-seized inquired who ever he-might-be
ἔπειτα, ἤν τις Γερμανοῦ στρατιώτης φήσειεν εἶναι,
then if anyone of-Germanus (a)-soldier should-say to-be
οὐκοῦν τὸ Γερμανοῦ ξύμβολον ἐκέλευον λέγειν, τοῦτο
accordingly the of-Germanus watchword they-bade(-him) to-say this
δὲ εἰπεῖν οὐδαμῇ ἔχοντα εὐθὺς ἔκτεινον.
but to-say in-no-way being-able at-once they-killed
ἐν τούτῳ τῷ πόνῳ τὸν Γερμανοῦ ἵππον τῶν τις 17.23
in this the toil the of-Germanus horse of-the one
πολεμίων λαθὼν ἔκτεινεν, αὐτός τε ὁ Γερμανὸς ἐς τὸ
enemies unnoticed killed himself both — Germanus to the
ἔδαφος ἐκπεσὼν ἐς κίνδυνον ἦλθεν, εἰ μὴ κατὰ τάχος
ground having-fallen into danger came if not with speed
οἱ δορυφόροι ἐσώσαντο, φραξάμενοί τε ἀμφ' αὐτὸν καὶ
the guards had-saved(-him) having-fenced both about him and
ἀναβιβάσαντες ἐφ' ἕτερον ἵππον.
having-mounted(-him) on another horse
Ὁ μὲν οὖν Στότζας ἐν τῷ θορύβῳ τούτῳ ξὺν ὀλίγοις 17.24
— indeed then Stotzas in the tumult this with few
τισὶ διαφυγεῖν ἴσχυσε. Γερμανὸς δὲ τοῖς ἀμφ' αὐτὸν
some to-escape was-able Germanus and the(-ones) about him
ἐγκελευσάμενος εὐθὺ τοῦ τῶν πολεμίων στρατοπέδου
having-exhorted straight-for the of-the enemies camp
ἐχώρησεν.
advanced
ἐνταῦθά οἱ τῶν στασιωτῶν ὑπηντίαζον ὅσοι τοῦ 17.25
there him of-the mutineers met as-many-as of-the
χαρακώματος ἐπὶ τῇ φυλακῇ ἐτετάχατο.
stockade for the guard had-been-posted

17.26 μάχης τε ἀμφὶ τὴν αὐτοῦ εἴσοδον καρτερᾶς γενομένης παρ᾽
(a)-battle both about the its entrance hard having-happened within
ὀλίγον μὲν οἱ στασιῶται ἦλθον τοὺς ἐναντίους ἀπώσασθαι,
little indeed the mutineers came the opponents to-push-back
πέμψας δὲ ὁ Γερμανὸς τῶν οἱ ἑπομένων τινὰς κατ᾽
having-sent and — Germanus of-the him following some at
ἄλλην ἀποπειρᾶσθαι χώραν τοῦ στρατοπέδου ἐκέλευεν.
other to-make-trial place of-the camp ordered
17.27 οἳ δὴ οὐδενὸς ταύτῃ ἀμυνομένου ἐντὸς τοῦ χαρακώματος
who indeed no-one there defending inside the stockade
ξὺν βραχεῖ πόνῳ ἐγένοντο.
with short toil were
17.28 οἵ τε στασιῶται κατιδόντες αὐτοὺς ἐς φυγὴν ὥρμηντο,
the both mutineers having-observed them to flight rushed
καὶ Γερμανὸς παντὶ τῷ ἄλλῳ στρατῷ ἐσεπήδησεν εἰς τὸ
and Germanus with-all the other army leapt into the
τῶν πολεμίων στρατόπεδον.
of-the enemies camp
17.29 ἐνταῦθα τὰ χρήματα οἱ στρατιῶται οὐδενὶ πόνῳ
there the money the soldiers with-no toil
ἁρπάζοντες οὔτε τοὺς ἐναντίους ἐν λόγῳ ἐποιοῦντό τινι
snatching neither the opponents in account made any
οὔτε τοῦ στρατηγοῦ ἐγκελευομένου ἔτι κατήκουον,
nor the general exhorting any-longer heeded
παρόντων χρημάτων. διὸ δὴ ὁ Γερμανός,
being-present money(-there) wherefore indeed — Germanus
17.30 δείσας μὴ ξυμφρονήσαντες οἱ πολέμιοι ἐπ᾽ αὐτοὺς
having-feared lest having-combined the enemies against them
ἴωσιν, αὐτὸς ξὺν ὀλίγοις τισὶν ἐς τοῦ χαρακώματος τὴν
should-come himself with few some at of-the stockade the

εἴσοδον ἔστη, πολλά τε ὀλοφυρόμενος καὶ τοὺς οὐδὲν
entrance stood much both lamenting and the(-ones) nothing
ἐπαΐοντας ἐς εὐκοσμίαν παρακαλῶν.
heeding to good-order summoning
τῶν δὲ Μαυρουσίων πολλοὶ τῆς τροπῆς οὕτω γεγενημένης 17.31
of-the and Moors many the rout so having-happened
τούς τε στασιώτας ἐδίωκον ἤδη καὶ ξὺν τῷ βασιλέως
the both mutineers pursued already and with the of-(the)-emperor
στρατῷ σφᾶς αὐτοὺς τάξαντες ἐληίζοντο τὸ τῶν
army them selves having-ranged plundered the of-the
ἡσσημένων στρατόπεδον.
defeated camp
Στότζας δέ, κατ' ἀρχὰς μὲν ἐπὶ τῷ Μαυρουσίων 17.32
Stotzas and at (the)-beginning indeed on the of-Moors
στρατῷ τὸ θαρσεῖν ἔχων, ὡς ἀναμαχούμενος παρ' αὐτοὺς
army the confidence having as about-to-renew-the-fight to them
ἤλαυνεν.
rode
αἰσθόμενος δὲ τῶν ποιουμένων, ξὺν ἑκατὸν ἀνδράσι 17.33
having-perceived and the(-things) being-done with hundred men
διαφυγεῖν μόλις ἴσχυσεν.
to-escape barely was-able
αὖθις δὲ ἀμφ' αὐτὸν πολλοὶ ξυλλεγέντες ἐνεχείρησαν 17.34
again and about him many having-gathered attempted
μὲν τοῖς πολεμίοις ἐς χεῖρας ἐλθεῖν, ἀποκρουσθέντες
indeed with-the enemies into hands to-come having-been-repulsed
δὲ οὐδέν τι ἧσσον, εἰ μὴ καὶ μᾶλλον, Γερμανῷ ἅπαντες
but nothing at-all less if not even more to-Germanus all
προσεχώρησαν.
came-over

17.35 μόνος δὲ ὁ Στότζας ξὺν Βανδίλοις ὀλίγοις τισὶν ἐς
alone and — Stotzas with Vandals few some to
Μαυριτανοὺς ἀνεχώρησε, καὶ παῖδα τῶν τινος ἀρχόντων
Mauretanians withdrew and (the)-daughter of-the one commanders
γυναῖκα λαβὼν αὐτοῦ ἔμεινε. καὶ ἡ μὲν στάσις αὕτη
(as)-wife having-taken there remained and the indeed mutiny this
ἐς τοῦτο ἐτελεύτα.
to this ended

18.1 Ἦν δέ τις ἐν τοῖς Θεοδώρου τοῦ Καππαδόκου
was and (a)-certain(-man) among the of-Theodore the Cappadocian
δορυφόροις, Μαξιμῖνος ὄνομα, πονηρὸς μάλιστα.
guards Maximinus by-name wicked most

18.2 οὗτος ὁ Μαξιμῖνος, τῶν στρατιωτῶν πλείστους
this — Maximinus of-the soldiers most
διομοσαμένους ἐπὶ τὴν πολιτείαν ξὺν αὑτῷ ἔχων,
having-sworn-together against the commonwealth with himself having
τυραννίδι ἐπιθέσθαι διενοεῖτο.
to-tyranny to-set-himself intended

18.3 ἔτι τε πλείους ἑταιρίζεσθαι ἐν σπουδῇ ἔχων ἄλλοις τε
still both more to-enlist in eagerness having to-others both
τὸ βούλευμα φράζει καὶ Ἀσκληπιάδῃ, ὡρμημένῳ μὲν ἐκ
the plan tells and to-Asclepiades sprung indeed from
Παλαιστίνης, εὖ δὲ γεγονότι καὶ πρώτῳ τῶν Θεοδώρου
Palestine well and born and first of-the of-Theodore
ἐπιτηδείων.
intimates

18.4 ὁ γοῦν Ἀσκληπιάδης Θεοδώρῳ κοινολογησάμενος τὸν
— at-any-rate Asclepiades with-Theodore having-conferred the
πάντα λόγον εὐθὺς Γερμανῷ εἰσαγγέλλει.
whole account at-once to-Germanus reports

καὶ ὅς, οὐκ ἐθέλων ἔτι οἱ τῶν πραγμάτων 18.5
and he not wishing any-longer for-him the affairs
ᾐωρημένων ἑτέρας τινὸς ταραχῆς ἄρξαι, θωπείᾳ μᾶλλόν
hanging-in-suspense of-another some disturbance to-begin with-flattery rather
τινι τὸν ἄνθρωπον ἢ τιμωρίᾳ περιελθεῖν ἔγνω καὶ
some the man than with-punishment to-get-round decided and
ὅρκοις αὐτὸν καταλαβεῖν τῆς ἐς τὴν πολιτείαν εὐνοίας.
with-oaths him to-bind of-the toward the commonwealth goodwill
ὃν τοίνυν εἰθισμένον ἅπασι Ῥωμαίοις ἐκ παλαιοῦ 18.6
being therefore customary for-all Romans from of-old
μηδένα δορυφόρον τῶν τινος ἀρχόντων καθίστασθαι, ἢν
no-one (as)-guard of-the one commanders to-be-appointed if
μὴ δεινοτάτους πρότερον ὅρκους παρεχόμενος τὰ πιστὰ
not most-terrible before oaths furnishing the pledges
δοίη τῆς ἐς αὐτόν τε καὶ τὸν βασιλέα Ῥωμαίων
he-should-give of-the toward him both and the emperor of-Romans
εὐνοίας, μεταπεμψάμενος τὸν Μαξιμῖνον τῆς τε εὐτολμίας
goodwill having-summoned — Maximinus for-the both daring
αὐτὸν ἐπῄνει καὶ δορυφορεῖν τὸ λοιπόν οἱ ἐπέτελλεν.
him praised and to-be-a-guard the rest to-him enjoined
ὁ δὲ περιχαρὴς γεγονὼς τῷ ὑπερβάλλοντι τῆς τιμῆς, 18.7
he and overjoyed having-become at-the exceeding of-the honor
ταύτῃ τε ῥᾷον αὐτῷ τὴν ἐπίθεσιν προχωρήσειν
in-this-way both more-easily for-him the attack to-go-forward
ὑποτοπάζων, τόν τε ὅρκον ὑπέστη καὶ τὸ λοιπὸν
suspecting the both oath underwent and the rest
ἐν τοῖς Γερμανοῦ δορυφόροις ταττόμενος τά τε
among the of-Germanus guards ranked the(-things) both
ὀμωμοσμένα εὐθὺς ἀλογεῖν ἠξίου καὶ τὰ ἐς τὴν
sworn at-once to-disregard thought-fit and the(-things) for the
τυραννίδα πολλῷ ἔτι μᾶλλον κρατύνασθαι.
tyranny much still more to-strengthen

18.8 ἡ μὲν οὖν πόλις ἑορτήν τινα πανδημεὶ ἦγε, πολλοὶ δὲ
the indeed then city festival some in-a-body was-keeping many and
τῶν Μαξιμίνου στασιωτῶν ἀμφὶ τὸν τοῦ ἀρίστου καιρὸν ἐς
of-the of-Maximinus mutineers about the of-the breakfast time to
Παλάτιον κατὰ τὰ σφίσι ξυγκείμενα ἦκον, οὗ δὴ
(the)-Palatium according-to the(-things) by-them agreed came where indeed
ὁ μὲν Γερμανὸς τοὺς ἐπιτηδείους εἱστία, παρεστήκει
— indeed Germanus the intimates was-entertaining stood-by
δὲ τῇ θοίνῃ ξὺν τοῖς ἄλλοις δορυφόροις ὁ Μαξιμῖνος.
and at-the banquet with the other guards — Maximinus

18.9 προϊόντος δὲ τοῦ πότου, εἰσελθών τις Γερμανῷ
advancing and the drinking having-entered someone to-Germanus
ἀπαγγέλλει στρατιώτας πολλοὺς κόσμῳ οὐδενὶ πρὸ τῆς
reports soldiers many with-order no before the
αὐλείου θύρας ἑστῶτας αἰτιᾶσθαι συντάξεις χρόνου πολλοῦ
court door standing to-claim pay of-time much
τὸ δημόσιον σφίσιν ὀφείλειν.
the treasury to-them to-owe

18.10 καὶ ὃς τῶν δορυφόρων τοὺς πιστοτάτους ἐκέλευσε λάθρα
and he of-the guards the most-faithful ordered secretly
τὸν Μαξιμῖνον ἐν φυλακῇ ἔχειν, αἴσθησιν αὐτῷ τινα
— Maximinus in custody to-hold perception to-him any
τοῦ ποιουμένου ὡς ἥκιστα παρεχομένους.
of-the(-thing) being-done as least giving

18.11 οἱ μὲν οὖν στασιῶται ξύν τε ἀπειλῇ καὶ ταραχῇ ἐπὶ
the indeed then mutineers with both threat and uproar to
τὸν ἱππόδρομον δρόμῳ ἐχώρουν οἵ τε τῆς βουλῆς
the hippodrome at-a-run advanced the(-ones) both the plan
αὐτοῖς μετασχόντες κατὰ βραχὺ ἀγειρόμενοι ἐκ τῶν
with-them having-shared by little gathering from the
οἰκημάτων ἐνταῦθα ξυνέρρεον.
dwellings there flowed-together

καὶ εἰ μὲν ξυλλεγῆναι ἅπαντας ἐς ταὐτὸ ἔτυχεν, οὐκ 18.12
and if indeed to-be-gathered all to the-same it-had-chanced not
ἄν τις, οἶμαι, καταλύειν αὐτῶν τὴν δύναμιν εὐπετῶς
— anyone I-think to-break their the power easily
ἔσχε·
could
νῦν δὲ Γερμανὸς προτερήσας ἔτι ἀπολελειμμένου τοῦ 18.13
now but Germanus having-got-ahead still left-behind the
πλείστου ὁμίλου ἅπαντας αὐτίκα τοὺς αὐτῷ τε καὶ
greatest crowd all at-once the(-ones) to-him both and
βασιλεῖ εὐνοϊκῶς ἔχοντας ἐπ᾽ αὐτοὺς ἔπεμψεν.
to-(the)-emperor well-disposed being against them sent
οἳ δὴ οὐ προσδεχομένοις τοῖς στασιώταις εἰς χεῖρας 18.14
who indeed not expecting(-it) with-the mutineers into hands
ἦλθον. οἱ δὲ οὔτε Μαξιμῖνον σὺν αὑτοῖς ἔχοντες, ὅνπερ
came they and neither Maximinus with themselves having whom
σφίσιν ἐξηγήσεσθαι τοῦ κινδύνου ἐκαραδόκουν, οὔτε τὸ
to-them to-lead of-the danger they-expected nor the
πλῆθος ὁρῶντες αὐτοῖς, ἦπερ ᾤοντο, ξυλλεγέν, ἀλλὰ
multitude seeing for-them as they-thought gathered but
καὶ μαχομένους παρὰ δόξαν σφίσι τοὺς ξυστρατιώτας
also fighting beyond expectation them the fellow-soldiers
θεώμενοι καὶ ἀπ᾽ αὐτοῦ ἐς ὀλιγωρίαν ἐλθόντες ἡσσήθησάν
beholding and from it into despondency having-come were-defeated
τε ῥᾳδίως τῇ μάχῃ καὶ κόσμῳ οὐδενὶ ἐς φυγὴν ὥρμηντο.
both easily in-the battle and with-order no to flight rushed
καὶ αὐτῶν οἱ ἐναντίοι πολλοὺς μὲν ἔκτεινον, πολλοὺς δὲ 18.15
and of-them the opponents many indeed killed many and
παρὰ Γερμανὸν ζωγρήσαντες ἦγον.
to Germanus having-taken-alive led

18.16 ὅσοι μέντοι οὐκ ἔφθησαν εἰς τὸν ἱππόδρομον ἥκοντες,
as-many-as however not had-been-first to the hippodrome coming
οὐδεμίαν αἴσθησιν τῆς ἐπὶ Μαξιμίνῳ παρέσχοντο γνώμης.
no perception of-the toward Maximinus gave intent
18.17 Γερμανὸς δὲ αὐτοὺς μὲν διερευνᾶσθαι οὐκέτι ἠξίου,
Germanus and them indeed to-search-out no-longer thought-fit
ἀνεπυνθάνετο δὲ εἰ Μαξιμίνῳ, ἐπειδὴ ὠμωμόκει, τὰ
inquired and whether by-Maximinus after he-had-sworn the(-things)
ἐς τὴν ἐπιβουλὴν ἤσκητο.
for the plot had-been-practiced
18.18 ἐληλεγμένον τε ὡς ἐν τοῖς αὐτοῦ δορυφόροις
having-been-convicted both that among the his guards
ταττόμενος τὴν ἐπίθεσιν ἔτι μᾶλλον ποιοίη, ἄγχιστά
ranked the attack still more he-was-making nearest
πη αὐτὸν τοῦ Καρχηδόνος περιβόλου ἀνεσκολόπισεν
somewhere him of-the of-Carthage circuit-wall he-impaled
οὕτω τε τὴν στάσιν παντάπασιν καταλύειν ἔσχε.
so both the mutiny altogether to-end he-was-able
Μαξιμίνου μὲν ἡ ἐπιβουλὴ ἐτελεύτησεν ὧδε.
of-Maximinus indeed the plot ended thus
19.1 Γερμανὸν δὲ ξύν τε Συμμάχῳ καὶ Δομνίκῳ μεταπεμψάμενος
Germanus and with both Symmachus and Domnicus having-recalled
βασιλεὺς Σολόμωνι αὖθις ἅπαντα Λιβύης τὰ πράγματα
(the)-emperor to-Solomon again all of-Libya the affairs
ἐνεχείρισε, τρισκαιδέκατον ἔτος τὴν αὐτοκράτορα ἔχων
entrusted (the)-thirteenth year the autocratic holding
ἀρχήν· στράτευμά τε αὐτῷ παρασχόμενος καὶ ἄρχοντας
rule army both to-him having-furnished and commanders
ἄλλους τε καὶ Ῥουφῖνον καὶ Λεόντιον, τοὺς Ζαύνα τοῦ
others both and Rufinus and Leontius the(-sons) of-Zaunas the
Φαρεσμάνου, καὶ Ἰωάννην τὸν Σισινιόλου υἱόν.
of-Pharesmanes and John the of-Sisiniolus son

Μαρτῖνος γὰρ καὶ Βαλεριανὸς ἤδη πρότερον ἐς Βυζάντιον 19.2
Martinus for and Valerian already before to Byzantium
μετάπεμπτοι ἦλθον.
summoned had-gone
Σολόμων δὲ καταπλεύσας ἐς Καρχηδόνα καὶ τῆς Στότζα 19.3
Solomon and having-sailed-in to Carthage and of-the of-Stotzas
στάσεως ἀπαλλαγεὶς μετρίως τε ἐξηγεῖτο καὶ Λιβύην
mutiny rid moderately both governed and Libya
ἀσφαλῶς διεφύλασσε, διακοσμῶν τε τὸν στρατὸν καὶ εἴ
safely guarded ordering both the army and if
τι μὲν ὕποπτον ἐν αὐτῷ εὕρισκεν, ἔς τε Βυζάντιον
anything indeed suspect in it he-found to both Byzantium
καὶ παρὰ Βελισάριον πέμπων, νέους δὲ στρατιώτας εἰς
and to Belisarius sending new and soldiers into
τὸν ἐκείνων ἀριθμὸν καταλέγων καὶ Βανδίλων τοὺς
the their number enrolling and of-Vandals the(-ones)
ἀπολελειμμένους καὶ οὐχ ἥκιστά γε αὐτῶν γυναῖκας
left-behind and not least at-least their wives
ἁπάσας ὅλης ἐξοικίζων Λιβύης· πόλιν τε ἑκάστην
all whole removing from-Libya city both each
περιέβαλε τείχει καὶ τοὺς νόμους ξὺν ἀκριβείᾳ φυλάξας
he-surrounded with-(a)-wall and the laws with exactness having-kept
πολλῇ τὴν πολιτείαν ὡς μάλιστα διεσώσατο.
much the commonwealth as most preserved
καὶ ἐγένετο Λιβύη ἐπ᾽ ἐκείνου χρημάτων τε προσόδῳ 19.4
and became Libya under him of-money both in-revenue
δυνατὴ καὶ τὰ ἄλλα εὐδαίμων.
powerful and in-the other(-things) prosperous
Ἐπεὶ δὲ ἅπαντά οἱ ὡς ἄριστα διετέτακτο, ἐπί τε 19.5
when and all(-things) for-him as best had-been-arranged against both
Ἰαύδαν καὶ τοὺς ἐν Αὐρασίῳ Μαυρουσίους αὖθις ἐστράτευε.
Iaudas and the in Aurasium Moors again he-marched

19.6 καὶ πρῶτα μὲν Γόνθαριν, τῶν δορυφόρων τῶν αὐτοῦ
and first indeed Gontharis of-the guards the his
ἕνα, ἄνδρα ἀγαθὸν τὰ πολέμια, ξὺν στρατεύματι
one (a)-man good in-the(-things) of-war with (an)-army
ἔπεμψεν.
sent

19.7 ὃς δὴ ἐς Ἀβίγαν ποταμὸν ἀφικόμενος ἐστρατοπεδεύσατο
who indeed to (the)-Abigas river having-come encamped
ἀμφὶ Βάγαϊν, πόλιν ἔρημον.
about Bagais (a)-city deserted

19.8 ἐνταῦθά τε τοῖς πολεμίοις ἐς χεῖρας ἐλθὼν καὶ μάχῃ
there both with-the enemies into hands having-come and in-battle
ἡσσηθεὶς ἔς τε τὸ χαράκωμα ἀποχωρήσας τῇ
having-been-defeated to both the stockade having-withdrawn by-the
Μαυρουσίων προσεδρείᾳ ἐπιέζετο ἤδη.
of-Moors siege was-pressed already

19.9 ἔπειτα δὲ καὶ αὐτὸς τῷ παντὶ στρατῷ ἀφικόμενος,
then and also himself with-the whole army having-come
ἐπειδὴ σταδίοις ἑξήκοντα τοῦ στρατοπέδου ἀπεῖχεν,
when by-stades sixty from-the camp he-was-distant
οὗ Γόνθαρις ἡγεῖτο, χαράκωμά τε ποιησάμενος αὐτοῦ
which Gontharis led (a)-stockade both having-made there
ἔμενε καὶ τὰ ξυμπεσόντα τοῖς ἀμφὶ Γόνθαριν
remained and the(-things) having-befallen the(-ones) about Gontharis
ἅπαντα ἀκούσας μοῖράν τε αὐτοῖς τοῦ στρατοῦ ἔπεμψε
all having-heard (a)-part both to-them of-the army sent
καὶ θαρσοῦντας ἐκέλευε διαμάχεσθαι τοῖς πολεμίοις.
and taking-courage ordered(-them) to-fight-it-out with-the enemies

19.10 οἱ δὲ Μαυρούσιοι καθυπέρτεροι ἐν τῇ ξυμβολῇ, ὥσπερ
the and Moors superior in the engagement as
ἐρρήθη, γενόμενοι ἐποίουν τάδε.
was-said having-become did these(-things)

Ἀβίγας ὁ ποταμὸς ῥεῖ μὲν ἐκ τοῦ Αὐρασίου, κατιὼν 19.11
Abigas the river flows indeed from — Aurasium coming-down
δὲ ἐς πεδίον ἀρδεύει τὴν γῆν οὕτως ὅπως ἂν βουλομένοις
and into (the)-plain waters the land so as — wishing
ᾖ τοῖς ταύτῃ ἀνθρώποις.
may-be the there men
περιάγουσι γὰρ τὸ ῥεῦμα τοῦτο οἱ ἐπιχώριοι ὅποι ποτὲ 19.12
lead-around for the stream this the natives wherever ever
σφίσιν ἐς τὸ παραυτίκα ξυνοίσειν οἴονται, ἐπεὶ ἐν τῷδε τῷ
for-them for the immediate it-will-be-of-use they-think since in this the
πεδίῳ ἀπώρυγες συχναὶ τυγχάνουσιν οὖσαι, ἐς ἃς δὴ ὁ
plain channels many happen being into which indeed the
Ἀβίγας σχιζόμενός τε καὶ ἐς πάσας ἰὼν ὑπὸ γῆν φέρεται
Abigas being-divided both and into all going under ground is-carried
καὶ αὖθις ὑπὲρ γῆν διαφαίνεται, ξυνάγων τὸ ῥεῦμα.
and again above ground reappears bringing-together the stream
τοῦτό τε ἐπὶ πλεῖστον τοῦ πεδίου ξυμβαῖνον ἐν ἐξουσίᾳ 19.13
this both for most of-the plain happening in power
τοῖς ταύτῃ ᾠκημένοις τίθεται εἶναι, ἐπιβύσασι χώματι
for-the(-ones) there dwelling puts (it)-to-be having-stopped with-earth
τοὺς ῥωχμοὺς ἢ αὖθις αὐτοὺς ἀποκαλύψασι τοῖς ὕδασι
the channels or again them having-uncovered the waters
τοῦ ποταμοῦ τοῦδε ὅ τι βούλοιντο χρῆσθαι.
of-the river this what ever they-might-wish to-use
τότε οὖν ἁπάσας οἱ Μαυρούσιοι τὰς ἐκείνῃ ἀπώρυγας 19.14
at-that-time then all the Moors the there channels
ἀποφράξαντες ἀφιᾶσι τὸ ῥεῦμα ὅλον φέρεσθαι ἀμφὶ τὸ
having-blocked let the stream whole to-be-carried around the
τῶν Ῥωμαίων στρατόπεδον.
of-the Romans camp

19.15 ἀφ᾽ οὗ δὴ τέλμα βαθὺ γεγονὸς καὶ ἀπόρευτον ἐξέπληξέ
from which indeed (a)-marsh deep having-become and impassable dismayed
τε αὐτοὺς ὅτι μάλιστα καὶ ἐς ἀπορίαν κατέστησε.
both them as most and into perplexity put
19.16 ταῦτα ἀκούσας Σολόμων κατὰ τάχος ἦει. οἱ δὲ βάρβαροι
these(-things) having-heard Solomon with speed went the and barbarians
δείσαντες ἀναχωροῦσιν ἐς τοῦ Αὐρασίου τὸν πρόποδα. καὶ
having-feared withdraw to — of-Aurasium the foot and
ἐν χώρῳ, ὃν Βάβωσιν καλοῦσι, στρατοπεδευσάμενοι ἔμενον.
in (a)-place which Babosis they-call having-encamped remained
ἄρας τε Σολόμων τῷ παντὶ στρατῷ ἐνταῦθα ἦκε.
having-set-out both Solomon with-the whole army there came
19.17 καὶ τοῖς πολεμίοις ἐς χεῖρας ἐλθὼν κρατήσας τε
and with-the enemies into hands having-come having-overcome both
παρὰ πολὺ αὐτῶν ἐς φυγὴν ἔτρεψε.
by much them to flight turned
19.18 καὶ ἀπ᾽ αὐτοῦ οἱ Μαυρούσιοι μάχην μὲν ἐκ τοῦ
and from this the Moors battle indeed from the
ἀντιπάλου πρὸς Ῥωμαίους διενεγκεῖν ἀξύμφορον σφίσιν
equal against Romans to-fight-out disadvantageous to-them
ᾤοντο εἶναι· οὐ γὰρ αὐτῶν περιέσεσθαι τῇ μάχῃ
thought to-be not for them to-overcome in-the battle
ἤλπιζον· ἐς δὲ τοῦ Αὐρασίου τὴν δυσχωρίαν ἐλπίδα εἶχον
they-hoped in but — of-Aurasium the rough-country hope they-had
ἀπολέγοντας τῇ ταλαιπωρίᾳ Ῥωμαίους χρόνῳ ὀλίγῳ
giving-up from-the misery Romans in-time little
ἐνθένδε ἐξανίστασθαι ὥσπερ τὸ πρότερον.
thence to-withdraw as the before
19.19 οἱ μὲν οὖν πολλοὶ ἔς τε Μαυριτανοὺς καὶ ἐς τοὺς πρὸς
the indeed then many to both Mauretanians and to the toward
μεσημβρίαν τοῦ Αὐρασίου βαρβάρους ᾤχοντο, Ἰαύδας δὲ
(the)-south — of-Aurasium barbarians went Iaudas and

ξὺν Μαυρουσίων δισμυρίοις ἐνταῦθα ἔμενεν. ἐτύγχανε δὲ
with of-Moors twenty-thousand there remained he-happened and
φρούριον οἰκοδομησάμενος ἐν Αὐρασίῳ, Ζερβούλην ὄνομα.
(a)-fortress having-built in Aurasium Zerbule by-name
οὗ δὴ ἐσελθὼν σὺν πᾶσι Μαυρουσίοις ἡσύχαζε.
where indeed having-entered with all Moors he-kept-quiet
Σολόμων δὲ χρόνον μὲν τρίβεσθαι τῇ πολιορκίᾳ ἥκιστα 19.20
Solomon and time indeed to-be-spent in-the siege least
ἤθελε, μαθὼν δὲ τὰ ἀμφὶ πόλιν Ταμουγάδην πεδία
wished having-learned and the about (the)-city Tamugadis plains
σίτου ἀκμάζοντος ἔμπλεα εἶναι ἐς αὐτὰ ἐπῆγε τὸ
with-grain ripening full to-be to them led the
στράτευμα καὶ ἐγκαθεζόμενος ἐδῄου τὴν γῆν. πυρπολήσας
army and having-settled-down ravaged the land having-burned
τε ἅπαντα ἐς Ζερβούλην τὸ φρούριον αὖθις ἀνέστρεψεν.
both all(-things) to Zerbule the fortress again returned
Ἐν δὲ τῷ χρόνῳ τούτῳ, ᾧ Ῥωμαῖοι ἐδῄουν τὴν γῆν, 19.21
in and the time this in-which Romans ravaged the land
Ἰαύδας καταλιπὼν Μαυρουσίων τινάς, οὓς μάλιστα ᾤετο
Iaudas having-left of-Moors some whom most he-thought
ἐς τοῦ φρουρίου τὴν φυλακὴν ἱκανοὺς ἔσεσθαι, αὐτὸς ἐς τὴν
for of-the fortress the guard sufficient to-be himself to the
τοῦ Αὐρασίου ὑπερβολὴν ξὺν τῷ ἄλλῳ στρατῷ ἀνέβη, ὅπως
— of-Aurasium height with the other army went-up so-that
μὴ πολιορκουμένους ἐνταῦθα τὰ ἐπιτήδεια σφᾶς ἐπιλίποι.
not being-besieged there the provisions them should-fail
χωρόν τε εὐρὼν κρημνοῖς τε πάντοθεν ἀνεχόμενον καὶ 19.22
(a)-place both having-found by-cliffs both on-all-sides held-up and
πρὸς ἀποτόμων πετρῶν καλυπτόμενον, Τοῦμαρ ὄνομα,
by sheer rocks covered Tumar by-name
ἐνταῦθα ἡσύχαζε.
there he-kept-quiet

19.23 Ῥωμαῖοι δὲ Ζερβούλην τὸ φρούριον ἐς τρεῖς ἐπολιόρκουν
Romans and Zerbule the fortress for three besieged
ἡμέρας. καὶ τόξοις χρώμενοι, ἅτε οὐχ ὑψηλοῦ ὄντος τοῦ
days and bows using as not high being the
τείχους, πολλοὺς τῶν ἐν ταῖς ἐπάλξεσι βαρβάρων ἔβαλλον.
wall many of-the on the battlements barbarians struck
19.24 τύχῃ δέ τινι ξυνέπεσεν ἅπαντας Μαυρουσίων τοὺς
by-chance and some it-befell all of-Moors the
ἡγεμόνας τούτοις δὴ ἐντυχόντας τοῖς βέλεσι θνήσκειν.
leaders these indeed meeting the missiles to-die
19.25 ἐπεὶ δὲ ὅ τε τῶν τριῶν ἡμερῶν χρόνος ἐτρίβη καὶ νὺξ
when and the both of-the three days time was-spent and night
ἐπέλαβε, Ῥωμαῖοι μὲν οὐδὲν τοῦ θανάτου πέρι τῶν ἐν
came-on Romans indeed nothing of-the death about of-the among
Μαυρουσίοις ἡγεμόνων πυθόμενοι διαλύειν ἐβουλεύοντο τὴν
Moors leaders having-learned to-break-up resolved the
προσεδρείαν.
siege
19.26 ἄμεινον γὰρ Σολόμωνι ἐφαίνετο ἐπί τε Ἰαύδαν καὶ
better for to-Solomon it-appeared against both Iaudas and
Μαυρουσίων τὸ πλῆθος ἰέναι, οἰομένῳ, ἢν ἐκείνους
of-Moors the multitude to-go thinking if those
πολιορκίᾳ ἑλεῖν δύνηται, ῥᾷόν τε καὶ ἀπονώτερον τοὺς
by-siege to-take he-could more-easily both and with-less-toil the
ἐν Ζερβούλῃ βαρβάρους προσχωρήσειν σφίσιν.
in Zerbule barbarians would-come-over to-them
19.27 οἱ δὲ βάρβαροι οὐκέτι ἀντέχειν τῇ προσεδρείᾳ οἰόμενοι,
the but barbarians no-longer to-hold-out against-the siege thinking
ἐπεὶ αὐτοῖς ἅπαντες ἤδη οἱ ἡγεμόνες ἀνῄρηντο, φεύγειν
since for-them all already the leaders had-been-killed to-flee
τε κατὰ τάχος καὶ τὸ φρούριον ἀπολιπεῖν ἔγνωσαν.
both with speed and the fortress to-abandon decided

αὐτίκα γοῦν ἅπαντες σιγῇ τε καὶ οὐδεμίαν τοῖς 19.28
at-once at-any-rate all in-silence both and no to-the
πολεμίοις αἴσθησιν παρεχόμενοι ἔφευγον, οἵ τε Ῥωμαῖοι
enemies perception giving fled the both Romans
ἐς τὴν ἀναχώρησιν ἅμα ἡμέρᾳ παρεσκευάζοντο.
for the withdrawal at-the-same(-time) with-day were-preparing
καὶ ἐπειδὴ ἐν τῷ τείχει οὐδείς, καίπερ πολεμίων 19.29
and when on the wall no-one although enemies
ἀναχωρούντων, ἐφαίνετο, ἐθαύμαζόν τε καὶ ἐς ἀλλήλους
withdrawing appeared they-wondered both and to one-another
ἐπὶ πλεῖστον διηποροῦντο.
for most were-at-a-loss
ξὺν ταύτῃ τε τῇ ἀμηχανίᾳ τὸ φρούριον περιιόντες 19.30
with this both the helplessness the fortress going-around
ἀνακεκλιμένην τὴν πυλίδα εὑρίσκουσιν, ὅθεν δὴ οἱ
open the postern they-find whence indeed the
Μαυρούσιοι ᾤχοντο φεύγοντες.
Moors had-gone fleeing
ἔς τε τὸ φρούριον ἐσελθόντες ἐν ἁρπαγῇ ἅπαντα 19.31
into both the fortress having-entered into plunder all(-things)
ἐποιήσαντο, διώκειν μέντοι ἥκιστα τοὺς πολεμίους
made to-pursue however least the enemies
διενοοῦντο, ἄνδρας κούφως τε ἐσταλμένους καὶ τῶν
intended men lightly both equipped and of-the
ἐκείνῃ χωρίων ἐμπείρους.
there places experienced
καὶ ἐπειδὴ ἅπαντα ἐληίσαντο, φύλακας τοῦ φρουρίου 19.32
and when all(-things) they-had-plundered guards of-the fortress
καταστησάμενοι πεζῇ ἅπαντες ἐχώρουν πρόσω.
having-posted on-foot all advanced forward

Before Tumar, Solomon's men suffer thirst until the optio Gezon climbs alone, kills three guards, and the army storms the camp; a soldier climbs the Rock of Geminianus and takes Iaudas' treasure. Libya has four years of peace. Then Sergius' guards kill Leuathae envoys at a banquet, the Moors rise with Antalas, and at Tebeste Solomon, his men unwilling, falls from his horse in a ravine and dies.

20.1 Ἐλθόντες δὲ ἐς Τοῦμαρ τὸν χῶρον, οὗ δὴ καθείρξαντες
having-come and to Tumar the place where indeed having-shut-in
σφᾶς αὐτοὺς ἡσύχαζον οἱ πολέμιοι, ἄγχι που
them selves kept-quiet the enemies near somewhere
ἐστρατοπεδεύσαντο ἐν δυσχωρίᾳ, ἔνθα οὔτε ὕδατος ὅτι
they-encamped in rough-country where neither of-water except
μὴ ὀλίγου οὔτε ἄλλου του ἀναγκαίου ἐν εὐπορίᾳ ἔσεσθαι
— little nor of-other any necessary in plenty to-be
ἔμελλον.
they-were-likely

20.2 χρόνου δὲ τριβομένου συχνοῦ τῶν τε βαρβάρων οὐδαμῶς
time and being-spent much the both barbarians in-no-way
σφίσιν ἐπεξιόντων, αὐτοὶ οὐδέν τι ἧσσον, εἰ μὴ καὶ
against-them coming-out themselves nothing at-all less if not even
μᾶλλον, τῇ προσεδρείᾳ πιεζόμενοι ἤσχαλλον.
more by-the siege being-pressed were-vexed

20.3 μάλιστα δὲ πάντων τῇ τοῦ ὕδατος ἀπορίᾳ ἤχθοντο, ὃ
most and of-all at-the of-the water lack they-were-vexed which
δὴ αὐτὸς Σολόμων ἐφύλασσε, καὶ ἄλλο οὐδὲν ἐς ἡμέραν
indeed himself Solomon guarded and other nothing for (the)-day
ἐδίδου, πλήν γε δὴ ὅτι κύλικα μίαν ἀνδρὶ ἑκάστῳ.
gave except at-least indeed — (a)-cup one to-man each

ὡς δὲ αὐτοὺς εἶδε δυσανασχετοῦντάς τε ἐκ τοῦ ἐμφανοῦς 20.4
when and them he-saw chafing both from the open
καὶ τὰ παρόντα δυσχερῆ φέρειν οὐκέτι οἵους τε ὄντας,
and the present hardships to-bear no-longer able — being
ἀποπειρᾶσθαί τε τοῦ χωρίου, καίπερ δυσπροσόδου ὄντος,
to-make-trial both of-the place although hard-to-approach being
διενοεῖτο καὶ ξυγκαλέσας ἅπαντας παρεκελεύσατο ὧδε
he-intended and having-called-together all exhorted thus
“ Ἐπειδὴ δέδωκεν ὁ θεὸς Ῥωμαίοις ἐν Αὐρασίῳ 20.5
since has-granted — God to-Romans in Aurasium
Μαυρουσίους πολιορκεῖν, πρᾶγμα πρότερόν τε κρεῖσσον
Moors to-besiege (a)-thing before both better
ἐλπίδος καὶ νῦν τοῖς γε οὐχ ὁρῶσι τὰ δρώμενα
than-hope and now to-the(-ones) at-least not seeing the(-things) being-done
παντελῶς ἄπιστον, ἀναγκαῖον καὶ ἡμᾶς τῇ ἄνωθεν
wholly incredible (it-is)-necessary also us to-the from-above
ὑπουργοῦντας ἐπικουρίᾳ ταύτην δὴ μὴ καταπροδιδόναι
serving help this indeed not to-betray
τὴν χάριν, ἀλλ᾽ ὑφισταμένους σὺν προθυμίᾳ τὸν κίνδυνον
the grace but undergoing with eagerness the danger
τῶν ἐκ τοῦ κατορθώσειν εὐτυχημάτων ἐφίεσθαι.
the from the to-succeed good-fortunes to-aim-at
ὡς πᾶσα μὲν τῶν ἀνθρωπείων πραγμάτων ῥοπὴ ἐς τοῦ 20.6
as every indeed of-the human affairs turn to of-the
καιροῦ τὴν ἀκμὴν περιίσταται· ἢν δέ τις ἐθελοκακήσας
occasion the prime comes-round if but anyone having-played-the-coward
προδιδοίη τὴν τύχην, οὐκ ἂν αὐτὴν αἰτιῷτο δικαίως,
should-betray the fortune not — it he-would-blame justly
αὐτὸς ἐφ᾽ ἑαυτῷ τὴν αἰτίαν πεποιημένος.
himself on himself the blame having-made

20.7 Μαυρουσίων μὲν τὴν ἀσθένειαν ὁρᾶτε δήπου καὶ τὸ
of-Moors indeed the weakness you-see doubtless and the
χωρίον, οὗ δὴ πάντων ἀπολελειμμένοι τῶν ἀναγκαίων
place where indeed of-all left-without the necessities
καθειρξαντες αὑτοὺς τηροῦσιν.
having-shut-in themselves they-keep

20.8 ὑμᾶς δὲ δυοῖν ἀνάγκη τὸ ἕτερον, ἢ τῇ προσεδρείᾳ
you but of-two (it-is)-necessary the other either at-the siege
μηδαμῶς ἀχθομένους τὴν τῶν πολεμίων ὁμολογίαν
in-no-way being-vexed the of-the enemies surrender
προσδέχεσθαι, ἢ πρὸς ταύτην ὀλιγωροῦντας τὴν μετὰ τοῦ
to-await or toward this being-negligent the with the
κινδύνου προσίεσθαι νίκην.
danger to-accept victory

20.9 μᾶλλον δὲ καὶ τὸ πολεμεῖν πρὸς τούσδε ἡμῖν τοὺς
rather and also the to-make-war against these for-us the
βαρβάρους ἀκίνδυνον ἔσται, οὓς δὴ τῷ λιμῷ μαχομένους
barbarians without-danger will-be who indeed with-the famine fighting
ἤδη οὔποτε ἡμῖν οὐδὲ εἰς χεῖρας ἀφίξεσθαι οἶμαι.
already never with-us not-even into hands will-come I-think
ἅπερ ἐν τῷ παρόντι ὑμᾶς ἐν νῷ ἔχοντας ἅπαντα
which(-things) in the present you in mind having all
προσήκει προθύμως τὰ παραγγελλόμενα ἐκτελεῖν."
it-befits eagerly the(-things) commanded to-carry-out

20.10 Τοσαῦτα Σολόμων παρακελευσάμενος διεσκοπεῖτο ὅθεν ἂν
so-much Solomon having-exhorted considered whence —
σφίσι τοῦ χωρίου πειράσασθαι ἄμεινον εἴη, ἀπορουμένῳ
for-them the place to-attempt better might-be being-at-a-loss
τε ἐπὶ πλεῖστον ἐῴκει.
both for most he-seemed

λίαν γάρ οἱ ἄμαχός τις ἡ δυσχωρία ἐφαίνετο. ἐν ᾧ 20.11
very for to-him invincible some the rough-country appeared in which
δὲ Σολόμων ταῦτα ἐν νῷ ἐποιεῖτο, ἡ τύχη ὁδόν
and Solomon these(-things) in mind was-turning-over the fortune way
τινα τοῖς πράγμασιν ἐπορίσατο τήνδε.
(a)-certain for-the affairs provided this
Γέζων ἦν τις ἐν τοῖς στρατιώταις πεζός, τοῦ 20.12
Gezon was (a)-certain(-man) among the soldiers on-foot of-the
καταλόγου ὀπτίων, εἰς ὃν αὐτὸς ἀνεγέγραπτο· οὕτω γὰρ
unit (the)-optio in which himself he-had-been-enrolled so for
τὸν τῶν συντάξεων χορηγὸν καλοῦσι Ῥωμαῖοι.
the of-the pay dispenser call Romans
οὗτος ὁ Γέζων, εἴτε παίζων εἴτε θυμῷ χρώμενος, ἢ καί 20.13
this — Gezon whether playing or anger using or also
τι αὐτὸν θεῖον ἐκίνησεν, ἐπὶ τοὺς πολεμίους ἰέναι
something him divine moved against the enemies to-go
δοκῶν ἀνέβαινε μόνος καὶ αὐτοῦ μικρὸν ἄποθεν τῶν
seeming went-up alone and from-him (a)-little away of-the
τινες ξυστρατιωτῶν ἤεσαν, ἐν θαύματι πολλῷ ποιούμενοι
some fellow-soldiers went in wonder much holding
τὰ γινόμενα.
the(-things) happening
ὑποτοπήσαντες δὲ Μαυρουσίων τρεῖς, οἳ ἐς τὸ φυλάσσειν 20.14
having-suspected and of-Moors three who for the to-guard
τὴν εἴσοδον ἐτετάχατο, ἐπὶ σφᾶς ἰέναι τὸν ἄνθρωπον,
the entrance had-been-posted at them to-come the man
ἀπήντων δρόμῳ.
met(-him) at-a-run
ἅτε δὲ ἐν στενοχωρίᾳ οὐ ξυντεταγμένοι ἐβάδιζον, ἀλλὰ 20.15
as and in narrow-place not ranged-together they-walked but
χωρὶς ἕκαστος ἤει.
apart each went

20.16 παίσας δὲ τὸν πρῶτόν οἱ ἐντυχόντα ὁ Γέζων ἔκτεινεν,
having-struck and the first to-him meeting(-him) — Gezon killed
οὕτω δὲ καὶ τῶν ἄλλων ἑκάτερον διειργάσατο.
thus and also of-the others each dispatched
20.17 ὃ δὴ κατιδόντες οἱ ὄπισθεν ἰόντες πολλῷ θορύβῳ
which indeed having-observed the(-ones) behind coming with-much tumult
τε καὶ ταραχῇ ἐπὶ τοὺς πολεμίους ἐχώρουν.
both and confusion against the enemies advanced
20.18 ὡς δὲ τὰ δρώμενα ἤκουσέ τε καὶ εἶδεν ἡ Ῥωμαίων
when and the(-things) being-done heard both and saw the of-Romans
στρατιὰ ξύμπασα, οὔτε τὸν στρατηγὸν ἀναμείναντες
army whole neither the general having-waited-for
τῆς πορείας σφίσιν ἡγήσασθαι οὔτε τὰς σάλπιγγας
the march them to-lead nor the trumpets
τὴν ξυμβολὴν σημῆναι, καθάπερ εἴθιστο, οὐ μὴν
the engagement to-signal as had-been-customary not indeed
οὐδὲ τὴν τάξιν φυλάσσοντες, ἀλλὰ πατάγῳ τε πολλῷ
not-even the formation keeping but with-clatter both much
χρώμενοι καὶ ἀλλήλοις ἐγκελευόμενοι ἔθεον ἐπὶ τὸ τῶν
using and one-another exhorting ran against the of-the
πολεμίων στρατόπεδον.
enemies camp
20.19 ἐνταῦθα Ῥουφῖνός τε καὶ Λεόντιος, οἱ Ζαύνα τοῦ
there Rufinus both and Leontius the(-sons) of-Zaunas the
Φαρεσμάνου, ἔργα ἐπεδείξαντο ἐς τοὺς πολεμίους ἀρετῆς
of-Pharesmanes deeds displayed against the enemies of-valor
ἄξια.
worthy
20.20 οἷς δὴ οἱ Μαυρούσιοι καταπεπληγμένοι, ἐπειδὴ καὶ
at-whom indeed the Moors struck-with-fear since also
τοὺς φύλακας σφῶν ἀνῃρῆσθαι ἔμαθον, αὐτίκα ἐς φυγὴν
the guards their to-have-been-killed they-learned at-once to flight

ὅπη ἕκαστος ἐδύνατο ᾔεσαν, καὶ αὐτῶν οἱ πλεῖστοι ἐν
where each could went and of-them the most in
ταῖς δυσχωρίαις καταλαμβανόμενοι ἔθνησκον.
the rough-places being-caught died
Ἰαύδας τε αὐτὸς ἀκοντίῳ πληγεὶς τὸν μηρὸν ὅμως 20.21
Iaudas both himself by-(a)-javelin struck in-the thigh nevertheless
διέφυγέ τε καὶ ἐς Μαυριτανοὺς ἀπεχώρησε.
escaped both and to Mauretanians withdrew
Ῥωμαῖοι δὲ διαρπάσαντες τὸ τῶν πολεμίων στρατόπεδον 20.22
Romans and having-plundered the of-the enemies camp
οὐκέτι τὸ Αὐράσιον ἐκλείπειν ἔγνωσαν, ἀλλὰ Σολόμωνος
no-longer — Aurasium to-leave decided but Solomon
ἐνταῦθα φρούρια οἰκοδομησαμένου φυλάσσειν, ὅπως μὴ
there fortresses having-built to-guard(-it) so-that not
αὖθις τοῦτο δὴ τὸ ὄρος Μαυρουσίοις ἐσβατὸν ἔσται.
again this indeed the mountain to-Moors enterable will-be
Ἔστι δέ τις ἐν Αὐρασίῳ πέτρα ἀπότομος κρημνῶν 20.23
is and (a)-certain in Aurasium rock sheer of-cliffs
ἐς μέσον ἀνέχουσα· πέτραν αὐτὴν Γεμινιανοῦ καλοῦσιν
in (the)-midst rising rock it of-Geminianus call
οἱ ἐπιχώριοι· οὗ δὴ πύργον οἱ πάλαι ἄνθρωποι βραχὺν
the natives where indeed (a)-tower the of-old men small
κομιδῇ ποιησάμενοι καταφυγήν τινα ἰσχυράν τε καὶ
quite having-made refuge (a)-certain strong both and
ἀμήχανον τῆς τοῦ χωρίου φύσεως σφίσι ξυλλαμβανούσης
impregnable the of-the place nature them helping
ἐδείμαντο.
built

20.24 ἐνταῦθα ἐτύγχανεν Ἰαύδας τά τε χρήματα καὶ τὰς γυναῖκας
there happened Iaudas the both money and the women
ἡμέραις πρότερον ὀλίγαις ἐναποθέμενος, ἕνα τε γέροντα
days before few having-deposited one both old-man
Μαυρούσιον φύλακα τῶν χρημάτων καταστησάμενος.
Moorish (as)-guard of-the money having-appointed
20.25 οὐ γὰρ ἄν ποτε ὑπετόπασεν οὔτε τοὺς πολεμίους ἐς
not for — ever he-would-have-suspected neither the enemies to
τόνδε τὸν χῶρον ἀφίξεσθαι οὔτ' ἂν βίᾳ ἐς τὸν ἅπαντα
this the place to-come nor — by-force in the whole
αἰῶνα τὸν πύργον ἑλεῖν.
age the tower to-take
20.26 ἀλλὰ Ῥωμαῖοι τότε τοῦ Αὐρασίου τὰς δυσχωρίας
but Romans then — of-Aurasium the rough-places
διερευνώμενοι ἐνταῦθα ἦκον, καὶ αὐτῶν τις ἀναβαίνειν
searching there came and of-them one to-climb
εἰς τὸν πύργον ξὺν γέλωτι ἐνεχείρησεν· αἱ δὲ γυναῖκες
to the tower with laughter attempted the and women
ἐτώθαζον, ἅτε δὴ τῶν ἀμηχάνων ἐφιεμένου καταγελῶσαι·
jeered as indeed the impossible(-things) aiming-at mocking(-him)
20.27 τοῦτο δὲ καὶ ὁ πρεσβύτης ἀπὸ τοῦ πύργου διακύψας
this and also the old-man from the tower having-peeped-out
ἐποίει· ὁ δὲ Ῥωμαῖος στρατιώτης ἐπειδὴ χερσί τε καὶ
did the but Roman soldier when with-hands both and
ποσὶν ἀναβαίνων ἐγγύς που ἐγεγόνει, σπασάμενος ἡσυχῇ
with-feet climbing near somewhere had-come having-drawn quietly
τὸ ξίφος ἐξήλατό τε ὡς εἶχε τάχους καὶ τοῦ γέροντος ἐς
the sword leapt both as he-had of-speed and the old-man on
τὸν αὐχένα ἐπιτυχὼν παίει, τεμεῖν τε αὐτὸν διαμπὰξ ἴσχυσεν.
the neck hitting strikes to-cut both him through was-able

ἥ τε κεφαλὴ ἐξέπεσεν εἰς τὸ ἔδαφος, καὶ οἱ στρατιῶται 20.28
the both head fell to the ground and the soldiers
θαρσοῦντες ἤδη καὶ ἀλλήλων ἐχόμενοι εἰς τὸν πύργον
taking-courage already and one-another holding to the tower
ἀνέβαινον, καὶ τάς τε γυναῖκας τά τε χρήματα, μεγάλα
went-up and the both women the both money great
κομιδῇ ὄντα, ἐνθένδε ἐξεῖλον.
quite being thence took-out
ἀφ' ὧν δὴ Σολόμων πολλὰς τῶν ἐν Λιβύῃ πόλεων 20.29
from which indeed Solomon many of-the in Libya cities
περιέβαλε τείχεσι.
surrounded with-walls
Καὶ ἐπειδὴ Μαυρούσιοι ἀνεχώρησαν ἐκ Νουμιδίας 20.30
and when Moors withdrew from Numidia
νικηθέντες, ὥσπερ ἐρρήθη, Ζάβην τε τὴν χώραν, ἣ
conquered as was-said Zabe both the land which
ὑπὲρ ὄρος τὸ Αὐράσιόν ἐστι Μαυριτανία τε ἡ πρώτη
beyond mountain — Aurasium is Mauretania both the first
καλεῖται μητρόπολιν Σίτιφιν ἔχουσα, τῇ Ῥωμαίων ἀρχῇ
is-called (a)-metropolis Sitifis having for-the of-Romans empire
ἐς φόρου ἀπαγωγὴν προσεποίησε·
to of-tribute payment be-annexed
Μαυριτανίας γὰρ τῆς ἑτέρας πρώτη Καισάρεια τυγχάνει 20.31
of-Mauretania for the other first Caesarea happens
οὖσα, οὗ δὴ ὁ Μαστίγας ξὺν Μαυρουσίοις τοῖς αὐτοῦ
being where indeed — Mastigas with Moors the his
ἵδρυτο, ξύμπαντα τὰ ἐκείνῃ χωρία κατήκοά τε καὶ φόρου
was-settled all the there places subject both and of-tribute
ὑποτελῆ πλήν γε δὴ πόλεως Καισαρείας ἔχων.
liable except at-least indeed (the)-city Caesarea holding

20.32 ταύτην γὰρ Ῥωμαίοις Βελισάριος τὸ πρότερον ἀνεσώσατο,
this for for-Romans Belisarius the before recovered
ὥσπερ ἐν τοῖς ἔμπροσθέν μοι δεδήλωται λόγοις· ἐς ἣν
as in the earlier by-me has-been-shown accounts to which
Ῥωμαῖοι ναυσὶ μὲν εἰς ἀεὶ στέλλονται, πεζῇ δὲ ἰέναι οὐκ
Romans by-ships indeed for always are-sent on-foot but to-go not
εἰσὶ δυνατοὶ Μαυρουσίων ἐν ταύτῃ ᾠκημένων τῇ χώρᾳ.
are able Moors in this dwelling the land
20.33 καὶ ἀπ᾽ αὐτοῦ Λίβυες ἅπαντες, οἳ Ῥωμαίων κατήκοοι
and from this Libyans all who of-Romans subjects
ἦσαν, εἰρήνης ἀσφαλοῦς τυχόντες καὶ τῆς Σολόμωνος
were peace secure having-obtained and the of-Solomon
ἀρχῆς σώφρονός τε καὶ λίαν μετρίας, ἔς τε τὸ λοιπὸν
rule temperate both and very moderate for both the rest
πολέμιον ἐν νῷ οὐδὲν ἔχοντες, ἔδοξαν εὐδαιμονέστατοι
hostile in mind nothing having seemed most-happy
εἶναι ἀνθρώπων ἁπάντων.
to-be of-men all
21.1 Τετάρτῳ δὲ ὕστερον ἐνιαυτῷ ἅπαντα σφίσιν ἀγαθὰ
in-(the)-fourth and later year all for-them good(-things)
ἐς τοὐναντίον γενέσθαι ξυνέπεσεν. ἔτος γὰρ ἕβδομόν τε
to the-contrary to-turn befell year for seventh both
καὶ δέκατον Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα
and tenth Justinian emperor the autocratic
ἀρχὴν ἔχοντος, Κῦρός τε καὶ Σέργιος, οἱ Βάκχου τοῦ
rule holding Cyrus both and Sergius the of-Bacchus the
Σολόμωνος ἀδελφοῦ παῖδες, πόλεων τῶν ἐν Λιβύῃ πρὸς
of-Solomon brother sons cities of-the in Libya by
βασιλέως ἄρχειν ἔλαχον, Πενταπόλεως μὲν Κῦρος ὁ
(the)-emperor to-rule were-allotted Pentapolis indeed Cyrus the
πρεσβύτερος, Τριπόλεως δὲ Σέργιος.
elder Tripolis and Sergius

Μαυρούσιοι δὲ οἱ Λευάθαι καλούμενοι στρατῷ μεγάλῳ ἐς 21.2
Moors and the Leuathae called with-army great to
Λεπτίμαγναν πόλιν παρ᾽ αὐτὸν ἵκοντο, ἐπιθρυλλοῦντες ὅτι
Leptimagna (the)-city to him came alleging that
δὴ τούτου ἕνεκα ἥκοιεν, ὅπως ὁ Σέργιος δῶρά τε
indeed of-this for-the-sake they-came so-that — Sergius gifts both
καὶ ξύμβολα σφίσι τὰ νομιζόμενα δοὺς τὴν εἰρήνην
and tokens to-them the customary having-given the peace
κρατύνηται.
might-make-firm
Σέργιος δὲ Πουδεντίῳ ἀναπεισθεὶς Τριπολίτῃ ἀνδρί, 21.3
Sergius and by-Pudentius having-been-persuaded (a)-Tripolitan man
οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην ἅτε κατ᾽
of-whom in the earlier accounts I-made-mention as at
ἀρχὰς τοῦ Βανδιλικοῦ πολέμου Ἰουστινιανῷ βασιλεῖ
(the)-beginning of-the Vandalic war to-Justinian emperor
ἐπὶ Βανδίλους ὑπηρετήσαντος, ὀγδοήκοντα μὲν τῶν
against Vandals having-served eighty indeed of-the
βαρβάρων τοὺς μάλιστα δοκίμους τῇ πόλει ἐδέξατο,
barbarians the most esteemed into-the city received
ἅπαντα ἐπιτελέσειν ὑποσχόμενος τὰ αἰτούμενα, τοὺς
all to-accomplish having-promised the(-things) asked the
δὲ ἄλλους ἐν τῷ προαστείῳ μένειν ἐκέλευσε.
and others in the suburb to-remain ordered
τούτοις δὴ τοῖς ὀγδοήκοντα πίστεις ἀμφὶ τῇ εἰρήνῃ 21.4
to-these indeed the eighty pledges about the peace
παρασχόμενος, οὕτω δὴ αὐτοὺς ἐπὶ θοίνην ἐκάλεσε.
having-furnished thus indeed them to (a)-banquet invited
τούτους δὲ λέγουσι τοὺς βαρβάρους νῷ δολερῷ ἐν τῇ
these and they-say the barbarians with-mind treacherous in the
πόλει γενέσθαι, ὅπως Σέργιον ἐνεδρεύσαντες κτείνωσιν.
city to-have-come so-that Sergius having-ambushed they-might-kill

21.5 ἐπειδή τε αὐτῷ ἐς λόγους ἦλθον, ἄλλα τε Ῥωμαίοις
when both to-him into words they-came other both against-Romans
ἐπεκάλουν ἐγκλήματα καὶ τὰ λήια σφίσιν οὐ δέον
they-brought charges and the crops for-them not fitting
δηϊῶσαι.
to-have-ravaged

21.6 ἅπερ ὁ Σέργιος ἐν ἀλογίᾳ πεποιημένος, ἐκ τοῦ βάθρου
which(-things) — Sergius in disregard having-made from the seat
ἐξαναστάς, ἐφ᾽ οὗπερ καθῆστο, ἐβούλετο ἀπαλλάσσεσθαι.
having-risen on which he-sat wished to-depart

21.7 καί τις αὐτοῦ τῶν βαρβάρων τῆς ἐπωμίδος λαβόμενος
and one him of-the barbarians the shoulder having-seized
ἐνεχείρει οἱ ἐμπόδιος εἶναι.
attempted to-him (a)-hindrance to-be

21.8 ἔς τε θόρυβον ἐνθένδε καταστάντες οἱ ἄλλοι ἀμφ᾽ αὐτὸν
into both tumult thence having-fallen the others about him
ἤδη ξυνέρρεον.
already flowed-together

21.9 τῶν δέ τις Σεργίου δορυφόρων τὸ ξίφος σπασάμενος
of-the and one of-Sergius guards the sword having-drawn
τοῦτον δὴ τὸν Μαυρούσιον διεχρήσατο.
this indeed the Moor dispatched

21.10 καὶ ἀπ᾽ αὐτοῦ ταραχῆς, ὡς τὸ εἰκός, γενομένης ἐν τῷ
and from this confusion as the likely having-arisen in the
δωματίῳ μεγάλης, οἱ Σεργίου δορυφόροι τοὺς βαρβάρους
room great the of-Sergius guards the barbarians
ἅπαντας ἔκτειναν.
all killed

21.11 καὶ αὐτῶν εἷς, ἐπειδὴ κτεινομένους τοὺς ἄλλους εἶδε, τοῦ
and of-them one when being-killed the others he-saw from-the
τε οἰκήματος, ἵνα δὴ ταῦτα ἐπράσσετο, ἐκπεπήδηκε,
both building where indeed these(-things) were-being-done leapt-out

λαθὼν ἅπαντας, ἔς τε τοὺς ὁμοφύλους ἀφικόμενος
having-escaped-notice-of all to both the kinsmen having-come
τὰ σφίσι ξυμπεσόντα ἐδήλου.
the(-things) to-them having-befallen made-known
οἱ δὲ ταῦτα ἀκούσαντες ἔς τε τὸ οἰκεῖον στρατόπεδον 21.12
they and these(-things) having-heard to both the own camp
κομίζονται δρόμῳ καὶ ξὺν τοῖς ἄλλοις ἅπασιν ἐν ὅπλοις
go at-a-run and with the others all in arms
ἐπὶ Ῥωμαίους ἐγένοντο.
against Romans were
οἷς δὴ ἀμφὶ πόλιν Λεπτίμαγναν ἀφικομένοις Σέργιός 21.13
whom indeed about (the)-city Leptimagna having-come Sergius
τε καὶ Πουδέντιος παντὶ τῷ στρατῷ ὑπηντίαζον.
both and Pudentius with-all the army met
τῆς τε μάχης ἐκ χειρὸς γινομένης τὰ μὲν πρῶτα ἐνίκων 21.14
the both battle from hand happening the indeed first conquered
Ῥωμαῖοι καὶ τῶν πολεμίων πολλοὺς ἔκτειναν, καὶ αὐτῶν τὸ
Romans and of-the enemies many killed and their the
στρατόπεδον λησάμενοι τῶν τε χρημάτων ἐκράτησαν καὶ
camp having-plundered of-the both money became-masters and
γυναικῶν τε καὶ παίδων ἐξηνδραπόδισαν μέγα τι χρῆμα.
of-women both and children enslaved great some sum
ὕστερον δὲ Πουδέντιος θράσει ἀπερισκέπτῳ ἐχόμενος 21.15
later and Pudentius by-rashness unconsidered held
θνήσκει. Σέργιος δὲ σὺν τῷ Ῥωμαίων στρατῷ, ἤδη γὰρ
dies Sergius and with the of-Romans army already for
καὶ συνεσκόταζεν, ἐς Λεπτίμαγναν ἐσήλασε.
also it-was-growing-dark into Leptimagna rode
Χρόνῳ δὲ ὕστερον οἱ μὲν βάρβαροι μείζονι παρασκευῇ ἐπὶ 21.16
in-time and later the indeed barbarians with-greater preparation against
Ῥωμαίους ἐστράτευσαν. Σέργιος δὲ παρὰ Σολόμωνα τὸν
Romans marched Sergius and to Solomon the

θεῖον ἐστάλη, ἐφ' ᾧ καὶ αὐτὸς μείζονι στρατῷ ἐπὶ τοὺς
uncle was-sent on which also himself with-greater army against the
πολεμίους ἴοι· οὗ δὴ καὶ Κῦρον τὸν ἀδελφὸν εὕρεν.
enemies he-might-go where indeed also Cyrus the brother he-found
21.17 οἵ τε βάρβαροι ἐς Βυζάκιον ἀφικόμενοι πλεῖστα ἐξ
the both barbarians to Byzacium having-come most(-things) from
ἐπιδρομῆς ἐληίσαντο τῶν ἐκείνῃ χωρίων· Ἀντάλας δὲ
(an)-inroad plundered of-the there places Antalas and
(οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην ἅτε Ῥωμαίοις
of-whom in the earlier accounts I-made-mention as to-Romans
πιστοῦ διαμεμενηκότος καὶ δι' αὐτὸ μόνου ἐν Βυζακίῳ
faithful having-remained and because-of it alone in Byzacium
Μαυρουσίων ἄρχοντος) ἤδη Σολόμωνι ἐκπεπολεμωμένος
of-Moors ruling already with-Solomon made-an-enemy
ἐτύγχανεν, ὅτι τε τὰς σιτήσεις, αἷς αὐτὸν βασιλεὺς
happened because both the rations with-which him (the)-emperor
ἐτετιμήκει, Σολόμων ἀφείλετο καὶ τὸν ἀδελφὸν τὸν αὐτοῦ
had-honored Solomon took-away and the brother the his
ἔκτεινε, ταραχήν τινα αὐτῷ ἐς Βυζακηνοὺς γινομένην
he-killed confusion some to-him among (the)-Byzacenes arising
ἐπενεγκών.
having-charged
21.18 τότε οὖν τούτους Ἀντάλας τοὺς βαρβάρους ἄσμενός
at-that-time then these Antalas the barbarians gladly
τε εἶδε καὶ ὁμαιχμίαν ποιησάμενος ἐπὶ Σολόμωνά τε
both saw and alliance having-made against Solomon both
καὶ Καρχηδόνα σφίσιν ἡγήσατο.
and Carthage them led
21.19 Σολόμων δέ, ἐπεὶ ταῦτα ἤκουσε, παντὶ τῷ στρατῷ
Solomon and when these(-things) he-heard with-all the army
ἄρας ἐπ' αὐτοὺς ᾖει, καὶ καταλαβὼν ἀμφὶ
having-set-out against them went and having-overtaken(-them) about

πόλιν Τεβέστην, ἓξ ἡμερῶν ὁδῷ Καρχηδόνος διέχουσαν,
(the)-city Tebeste six days by-road from-Carthage being-distant
ἐστρατοπεδεύσατο αὐτός τε καὶ οἱ Βάκχου τοῦ ἀδελφοῦ
encamped himself both and the of-Bacchus the brother
παῖδες Κῦρός τε καὶ Σέργιος καὶ Σολόμων ὁ νεώτατος.
sons Cyrus both and Sergius and Solomon the youngest
δείσας τε τὸ τῶν βαρβάρων πλῆθος ἔπεμψε παρὰ τῶν 21.20
having-feared both the of-the barbarians multitude he-sent to of-the
Λευαθῶν τοὺς ἄρχοντας, μεμφόμενος μὲν ὅτι δὴ ἔνσπονδοι
Leuathae the commanders blaming indeed that indeed under-treaty
Ῥωμαίων ὄντες εἶτα ἐν ὅπλοις γενόμενοι ἐπ᾽ αὐτοὺς
with-Romans being then in arms having-come against them
ἥκουσι, τὴν δὲ εἰρήνην ἀξιῶν ἐν σφίσι κρατύνασθαι,
they-came the and peace claiming among them to-make-firm
ὅρκους τε ὀμεῖσθαι τοὺς δεινοτάτους ὑπέσχετο, ἦ μὴν
oaths both to-swear the most-terrible he-promised truly indeed
ἀμνηστίᾳ τῶν πεπραγμένων ἐς αὐτοὺς χρήσεσθαι.
amnesty for-the(-things) done toward them to-use
χλευάζοντες δὲ τὰ εἰρημένα οἱ βάρβαροι πάντως 21.21
mocking and the(-things) said the barbarians wholly
αὐτὸν ὀμεῖσθαι τὰ Χριστιανῶν λόγια ἔφασαν, ἅπερ καλεῖν
him to-swear-by the of-Christians oracles said which to-call
εὐαγγέλια νενομίκασιν.
gospels they-are-accustomed
οὐκοῦν ἐπειδὴ Σέργιος ταῦτα ὀμόσας εἶτα τοὺς 21.22
accordingly since Sergius by-these having-sworn then the(-ones)
πιστεύσαντας ἔκτεινε, βουλομένοις σφίσιν αὐτοῖς εἴη
having-trusted killed wishing for-them selves it-would-be
ἐς μάχην ἰοῦσι τούτων δὴ τῶν λογίων ἀποπειρᾶσθαι,
into battle going these indeed the oracles to-make-trial-of
ὁποίαν τινὰ πρὸς τοὺς ἐπιόρκους δύναμιν ἔχουσιν, ὅπως
what-sort some against the perjurers power they-have so-that

αὐτοῖς βεβαιότατα πιστεύσαντες οὕτω δὴ ἐπὶ τὰς
them most-firmly having-trusted thus indeed to the
ξυνθήκας καθιστῶνται. ταῦτα Σολόμων ἀκούσας τὰ
covenants they-might-come these(-things) Solomon having-heard the(-things)
ἐς τὴν ξυμβολὴν ἐξηρτύετο.
for the engagement prepared

21.23 Τῇ δὲ ὑστεραίᾳ μοίρᾳ τινὶ τῶν πολεμίων λείαν ὅτι
on-the and next-day with-part some of-the enemies booty as
πλείστην ἀγούσῃ ξυμβαλὼν καὶ μάχῃ νικήσας ἀφελών
most bringing having-engaged and in-battle having-conquered having-taken
τε τὴν λείαν ἐφύλασσε πᾶσαν.
both the booty he-guarded all

21.24 δυσανασχετοῦσι δὲ τοῖς στρατιώταις καὶ δεινὰ
to-chafing and the soldiers and terrible(-things)
ποιουμένοις, ὅτι δὴ αὐτοῖς οὐκ ἐδίδου τὰ λάφυρα,
making(-of-it) that indeed to-them not he-gave the spoils
ἔφασκεν ἀναμένειν τὸ τοῦ πολέμου πέρας, ὅπως δὴ
he-said to-await the of-the war end so-that indeed
ἅπαντα τηνικαῦτα διανείμωνται, καθάπερ ἂν ἐς τὴν
all(-things) then they-might-distribute as — according-to the
ἀξίαν ἐπιβάλλον ἑκάστῳ φαίνηται.
worth falling to-each might-appear

21.25 ἐπεὶ δὲ αὖθις οἱ βάρβαροι πάσῃ τῇ στρατιᾷ ἐς ξυμβολὴν
when and again the barbarians with-all the army to engagement
ὥρμηντο, ἐνταῦθα Ῥωμαίων τέ τινες ἀπελείποντο καὶ
rushed there of-Romans both some stayed-behind and
οἱ ἄλλοι οὐ ξὺν προθυμίᾳ ἐς τὴν παράταξιν ἤεσαν.
the others not with eagerness into the battle-line went

21.26 πρῶτα μὲν οὖν ἀγχώμαλος ἐγεγόνει ἡ μάχη, ὕστερον
first indeed then evenly-matched had-been the battle later
δὲ πλήθει πολλῷ ὑπερβαλλομένων τῶν Μαυρουσίων,
and in-number great overpowering(-them) the Moors

Ῥωμαίων μὲν οἱ πολλοὶ ἔφευγον, Σολόμων δὲ καὶ ἀμφ᾽
of-Romans indeed the many fled Solomon and and about
αὐτόν τινες χρόνον μέν τινα βαλλόμενοι ἀντεῖχον, ὕστερον
him some time indeed some being-shot held-out later
δὲ ὑπερβιαζομένων τῶν πολεμίων σπουδῇ ἔφευγον ἔς τε
and pressing-hard the enemies with-haste fled into both
ῥύακος ἐκείνῃ ῥέοντος χαράδραν ἀφίκοντο.
(a)-torrent there flowing (the)-ravine came
ἔνθα δὴ ὀκλάσαντός οἱ τοῦ ἵππου Σολόμων ἐκπίπτει 21.27
there indeed having-stumbled for-him the horse Solomon falls
ἐς ἔδαφος, καὶ αὐτὸν κατὰ τάχος ταῖς χερσὶν οἱ
to (the)-ground and him with speed with-the hands the
δορυφόροι ἀράμενοι ἐπὶ τοῦ ἵππου καθίζουσι.
guards having-lifted on the horse set
περιώδυνον δὲ γεγονότα καὶ ἀδύνατον ἔτι τοῦ χαλινοῦ 21.28
in-great-pain and having-become and unable any-longer the bridle
ἔχεσθαι καταλαβόντες οἱ βάρβαροι αὐτόν τε κτείνουσι
to-hold having-overtaken the barbarians him both kill
καὶ τῶν δορυφόρων πολλούς. αὕτη τε τοῦ βίου τελευτὴ
and of-the guards many this both of-the life end
Σολόμωνι ἐγένετο.
for-Solomon came

Sergius, hated for his arrogance and lust, keeps command; Antalas writes to Justinian asking his removal. Young Solomon, taken, tricks the Moors into selling him back. Himerius is forced to open Hadrumetum to the Moors, and the priest Paul recovers it by a feigned army of Germanus. Areobindus is sent to share Sergius' command; John mortally wounds Stotzas and is himself killed, and Areobindus commands alone.

22.1 Τελευτήσαντος δὲ Σολόμωνος, Σέργιος αὐτοῦ, ὥσπερ
having-died and Solomon Sergius his as
εἴρηται, ἀδελφιδοῦς ὤν, δόντος βασιλέως, παρέλαβε
has-been-said nephew being having-granted(-it) (the)-emperor took-over
τὴν Λιβύης ἀρχήν.
the of-Libya command

22.2 ὃς δὴ φθορᾶς πολλῆς αἰτιώτατος τῷ Λιβύων γένει
who indeed of-ruin much most-responsible to-the of-Libyans race
ἐγένετο, ἅπαντές τε αὐτοῦ τῇ ἀρχῇ ἤχθοντο, ἄρχοντες
became all both his the rule hated commanders
μέν, ὅτι ἀσύνετος ὢν κομιδῇ καὶ νέος τόν τε τρόπον
indeed because senseless being quite and young in-the both character
καὶ τὴν ἡλικίαν ἀλαζονικώτατος γέγονεν ἀνθρώπων
and in-the age most-boastful he-has-become of-men
ἁπάντων, ὕβριζέ τε λόγῳ οὐδενὶ ἐς αὐτοὺς καὶ
all he-insulted and with-reason no toward them and
ὑπερεώρα, πλούτου τε δυνάμει καὶ τῇ τῆς ἀρχῆς
looked-down-on(-them) of-wealth both by-(the)-power and by-the of-the command
ἐξουσίᾳ ἐς τοῦτο ἀεὶ ἐπιχρώμενος· οἱ δὲ στρατιῶται,
authority to this always using the and soldiers
ὅτι δὴ ἄνανδρός τε καὶ μαλθακὸς παντάπασιν ἦν·
because indeed cowardly both and soft altogether he-was

οἱ δὲ Λίβυες διά τε ταῦτα καὶ ὅτι γυναικῶν τε
the and Libyans because-of both these(-things) and because of-women both
καὶ χρημάτων ἀλλοτρίων ἄτοπός τις ἐραστὴς ἐγεγόνει.
and of-money of-others extraordinary some lover he-had-become
μάλιστα δὲ πάντων Ἰωάννης ὁ Σισινιόλου τῇ Σεργίου 22.3
most and of-all John the of-Sisiniolus at-the of-Sergius
δυνάμει χαλεπῶς εἶχεν. ἀγαθὸς γὰρ ὢν τὰ πολέμια
power badly was good for being in-the(-things) of-war
καὶ διαφερόντως εὐδόκιμος, ἀχαρίστου τοῦ ἀνθρώπου
and exceptionally well-reputed ungracious the man
ἀτεχνῶς ἔτυχε.
simply he-met
διὸ δὴ οὔτε αὐτὸς οὔτε ἄλλος τῶν πάντων οὐδεὶς 22.4
wherefore indeed neither himself nor other of-the all no-one
ὅπλα ἀνταίρειν τοῖς πολεμίοις ἠβούλετο.
arms to-raise against-the enemies wished
τῷ δὲ Ἀντάλᾳ οἵ τε Μαυρούσιοι σχεδόν τι ἅπαντες 22.5
— and Antalas the both Moors nearly somewhat all
εἵποντο καὶ Στότζας ἐκ Μαυριτανίας μετάπεμπτος ἦλθεν.
followed and Stotzas from Mauretania summoned came
ἐπεί τε οὐδεὶς σφίσιν ἐπεξῄει τῶν πολεμίων, ἠγόν 22.6
when both no-one against-them came-out of-the enemies they-drove
τε καὶ ἔφερον ληιζόμενοι ἀδεῶς ἅπαντα. τότε Ἀντάλας
both and carried plundering fearlessly all(-things) then Antalas
Ἰουστινιανῷ βασιλεῖ γράμματα ἔγραψεν.
to-Justinian emperor (a)-letter wrote
ἐδήλου δὲ ἡ γραφὴ τάδε “Δοῦλος μὲν εἶναι τῆς σῆς 22.7
declared and the writing these(-things) (a)-slave indeed to-be of-the your
βασιλείας οὐκ ἂν οὐδὲ αὐτὸς ἀρνηθείην, Μαυρούσιοι δὲ
empire not — not-even myself would-I-deny Moors but
πρὸς Σολόμωνος ἐν σπονδαῖς πεπονθότες ἀνόσια ἔργα, ἐν
by Solomon in treaty having-suffered impious deeds into

ὅπλοις ὡς μάλιστα ἠναγκασμένοι γεγόνασιν, οὔ σοι
arms as most compelled have-come not against-you
ταῦτα ἀνταίροντες, ἀλλὰ τὸν ἐχθρὸν ἀμυνόμενοι, καὶ
these raising but the enemy repelling and
διαφερόντως ἐγώ.
exceptionally I

22.8 οὐ γὰρ μόνον με τῶν σιτήσεων ἀποστερεῖν ἔγνω, ἅσπερ
not for only me of-the rations to-deprive he-decided which
μοι πολλῷ πρότερον χρόνῳ Βελισάριός τε διώρισε καὶ
to-me much earlier in-time Belisarius both fixed and
σὺ δέδωκας, ἀλλὰ καὶ τὸν ἀδελφὸν τὸν ἐμὸν ἔκτεινεν,
you have-given but also the brother the my he-killed
οὐδὲν ἀδίκημα αὐτῷ ἐπενεγκεῖν ἔχων.
no wrong to-him to-charge being-able

22.9 τὴν μὲν οὖν δίκην παρὰ τοῦ ἠδικηκότος ἡμᾶς
the indeed then vengeance from the(-one) having-wronged us
λαβόντες ἔχομεν. εἰ δέ σοι βουλομένῳ ἐστὶ δουλεύειν τε
having-taken we-have if but to-you wishing it-is to-be-slaves both
Μαυρουσίους τῇ σῇ βασιλείᾳ καὶ πάντα ὑπηρετεῖν ᾗπερ
Moors to-the your empire and all(-things) to-serve as
εἰώθασι, Σέργιον μὲν τὸν τοῦ Σολόμωνος ἀδελφιδοῦν
they-are-accustomed Sergius indeed the — of-Solomon nephew
ἐνθένδε ἀπαλλαγέντα ἐπανήκειν παρὰ σὲ κέλευε, ἄλλον
from-here having-departed to-return to you order another
δὲ στρατηγὸν εἰς Λιβύην πέμπε.
and general to Libya send

22.10 οὐ γάρ σε ἐπιλείψουσιν ἄνδρες ξυνετοί τε καὶ Σεργίου
not for you will-fail men intelligent both and than-Sergius
τῷ παντὶ ἀξιώτεροι· ἕως γὰρ οὗτος τῷ σῷ ἐξηγεῖται
by-the whole more-worthy as-long-as for this-man the your leads
στρατῷ, εἰρήνην ἔς τε Ῥωμαίους καὶ Μαυρουσίους
army peace toward both Romans and Moors

ξυνίστασθαι ἀμήχανά ἐστιν.” Ἀντάλας μὲν τοσαῦτα
to-be-established impossible is Antalas indeed so-much
ἔγραψε. βασιλεὺς δὲ ταῦτα ἀναλεξάμενος καὶ μαθὼν
wrote (the)-emperor and these(-things) having-read and having-learned
τὸ κοινὸν ἁπάντων ἐς Σέργιον ἔχθος, οὐδ’ ὡς
the common of-all toward Sergius hatred not-even so
παραλύειν αὐτὸν τῆς ἀρχῆς ἤθελε, Σολόμωνος τήν τε
to-remove him from-the command wished of-Solomon the both
ἄλλην ἀρετὴν καὶ τὴν τοῦ βίου καταστροφὴν αἰσχυνόμενος.
other virtue and the of-the life end being-ashamed-before
ταῦτα μὲν οὖν ἐφέρετο τῇδε. 22.11
these(-things) indeed then went thus
Σολόμων δέ, ὁ Σεργίου ἀδελφός, δόξας ξὺν τῷ θείῳ 22.12
Solomon and the of-Sergius brother having-seemed with the uncle
Σολόμωνι ἐξ ἀνθρώπων ἀφανισθῆναι, πρός τε τῶν ἄλλων
Solomon from men to-have-vanished by both the others
καὶ τοῦ ἀδελφοῦ ἠμελήθη· οὐ γάρ τις αὐτὸν περιόντα ἔγνω.
and the brother was-neglected not for anyone him surviving knew
ἐτύγχανον δὲ ζωγρήσαντες αὐτὸν ἅτε νέον κομιδῇ ὄντα, 22.13
happened and having-taken-alive him as young quite being
Μαυρούσιοι, καὶ αὐτοῦ ἀνεπυνθάνοντο ὅστις ποτὲ εἴη.
Moors and of-him they-asked who ever he-might-be
ὁ δὲ Βανδίλος μὲν γένος, Σολόμωνος δὲ δοῦλος ἔφασκεν 22.14
he and (a)-Vandal indeed by-race of-Solomon but (a)-slave said
εἶναι. φίλον μέντοι τῶν τινα ἰατρῶν, Πηγάσιον ὄνομα,
to-be (a)-friend however of-the one physicians Pegasius by-name
εἶναί οἱ ἐν πόλει Λαρίβῳ, πλησίον που οὔσῃ, ὃς
to-be for-him in (the)-city Laribus near somewhere being who
αὐτὸν ὠνήσαιτο τὰ λύτρα διδούς.
him would-buy the ransom giving

22.15 οἱ μὲν οὖν Μαυρούσιοι ἄγχιστα τοῦ τῆς πόλεως
the indeed then Moors nearest the of-the city
περιβόλου γενόμενοι ἐκάλουν τε τὸν Πηγάσιον καί οἱ
circuit-wall having-come called both — Pegasius and to-him
Σολόμωνα ἐπεδείκνυον, ἠρώτων τε εἴ οἱ τοῦτον
Solomon showed asked both whether to-him this(-one)
ὠνεῖσθαι πρὸς ἡδονῆς ἐστι.
to-buy to pleasure is

22.16 καὶ ἐπεὶ ὡμολόγει ὠνήσεσθαι, πεντήκοντά οἱ χρυσῶν
and when he-agreed to-buy fifty to-him gold-pieces
ἀπέδοντο τὸν Σολόμωνα.
they-sold — Solomon

22.17 ἐντὸς δὲ τοῦ περιβόλου γενόμενος Σολόμων τοὺς
inside and the circuit-wall having-come Solomon the
Μαυρουσίους ἅτε πρὸς αὐτοῦ μειρακίου ὄντος
Moors as by him (a)-lad being
ἐξηπατημένους, ἐτώθαζεν· αὐτὸς γὰρ Σολόμων ἔφασκεν,
deceived mocked himself for Solomon he-said
ὁ Βάκχου μὲν παῖς, Σολόμωνος δὲ ἀδελφιδοῦς εἶναι.
the of-Bacchus indeed son of-Solomon and nephew to-be

22.18 Μαυρούσιοι δὲ τοῖς τε ξυμπεσοῦσι περιαλγοῦντες
Moors and at-the(-things) both having-happened grieving-deeply
καὶ δεινὰ ποιούμενοι, ὅτι δὴ Σεργίου τε καὶ
and terrible(-things) making(-of-it) that indeed of-Sergius both and
Ῥωμαίων ἐνέχυρον κρατερὸν ἔχοντες εἶτα οὕτω παρέργως
of-Romans pledge strong having then so carelessly
ἀφῆκαν, ἐς Λάριβόν τε ἀφίκοντο καὶ αὐτῆς ἐς
they-had-released(-him) to Laribus both came and it to
πολιορκίαν κατέστησαν, ὅπως τὸν Σολόμωνα ξὺν τῇ
siege set so-that — Solomon with the
πόλει αἱρήσουσιν.
city they-might-take

οἱ δὲ πολιορκούμενοι τῶν βαρβάρων τὴν προσεδρείαν 22.19
the and being-besieged of-the barbarians the siege
κατορρωδήσαντες, ἐπεὶ οὐδὲ τὰ ἐπιτήδεια ἐσκομισάμενοι
having-dreaded since not-even the provisions having-brought-in
ἔτυχον, τοῖς Μαυρουσίοις ἐς λόγους ἦλθον, ἐφ' ᾧ
they-happened with-the Moors into words came on which
χρήματα μεγάλα περιβαλλόμενοι τὴν προσεδρείαν εὐθὺς
money great receiving the siege straightway
διαλύσωσιν.
they-should-break-up
οἱ δὲ οὐκ ἂν ἑλεῖν βίᾳ τὴν πόλιν οἰόμενοι, ἐπεὶ 22.20
they and not — to-take by-force the city thinking since
Μαυρουσίοις τειχομαχεῖν οὐδαμῇ ἤσκηται, σπανίζειν
by-Moors to-assault-walls in-no-way has-been-practiced to-be-short
τε τὰ ἐπιτήδεια τοῖς πολιορκουμένοις ἥκιστα ἔγνωσαν,
both the provisions for-the besieged least they-knew
τούς τε λόγους ἐνεδέχοντο καὶ τρισχιλίους κεκομισμένοι
the both words accepted and three-thousand having-received
χρυσοῦς τὴν πολιορκίαν διέλυσαν, καὶ οἱ Λευάθαι ἐπ'
gold-pieces the siege broke-up and the Leuathae to
οἴκου ξύμπαντες ἀνεχώρησαν.
home all withdrew
Ἀντάλας δὲ καὶ ὁ τῶν Μαυρουσίων στρατὸς ξυνελέγοντο 23.1
Antalas and and the of-the Moors army gathered
αὖθις ἐν Βυζακίῳ, καὶ αὐτοῖς Στότζας ξυνῆν, στρατιώτας
again in Byzacium and with-them Stotzas was soldiers
τε ὀλίγους τινὰς καὶ Βανδίλους ἔχων.
both few some and Vandals having
Ἰωάννης δὲ ὁ Σισινιόλου, πολλὰ λιπαρούντων Λιβύων, 23.2
John and the of-Sisiniolus much entreating (the)-Libyans
στράτευμα ἀγείρας ἐπ' αὐτοὺς ἦλθεν.
(an)-army having-gathered against them came

23.3 ἐτύγχανε δὲ Ἰμέριος Θρᾷξ τῶν ἐν Βυζακίῳ καταλόγων
happened and Himerius (a)-Thracian of-the in Byzacium units
ἄρχων, ὃν δὴ τότε Ἰωάννης ἐκέλευε πάντας ἐπαγόμενον
commander whom indeed then John ordered all bringing
τοὺς ταύτῃ καταλόγους ξὺν τοῖς ἑκάστῳ ἡγουμένοις ἐλθόντα
the there units with the each leading having-come
ἐς χωρίον Μενεφέσση, ὅ ἐστιν ἐν Βυζακίῳ, σφίσι ξυμμῖξαι.
to (a)-place Menephesse which is in Byzacium with-them to-join
23.4 ὕστερον δὲ ἀκούσας ἐνταῦθα ἐνστρατοπεδεύεσθαι τοὺς
later and having-heard there to-be-encamped the
πολεμίους, Ἰμερίῳ ἔγραφε τά τε ξυμπεσόντα δηλῶν
enemies to-Himerius he-wrote the(-things) both having-happened making-known
καὶ σφίσιν ἐπαγγέλλων ἑτέρωθι ἀναμίγνυσθαι, ὅπως μὴ κατὰ
and them bidding elsewhere to-join so-that not by
μόνας, ἀλλὰ κοινῇ ἅπαντες ὑπαντιάσωσι τοῖς πολεμίοις.
themselves but together all they-might-meet the enemies
23.5 τύχῃ δέ τινι οἱ ταῦτα τὰ γράμματα ἔχοντες ὁδῷ
by-chance and some the(-ones) these the letters having road
ἑτέρᾳ χρησάμενοι τὸν Ἰμέριον εὑρεῖν οὐδαμῇ ἴσχυσαν,
another having-used — Himerius to-find in-no-way were-able
ἀλλὰ ξὺν τῷ στρατῷ ἐμπεπτωκὼς ἐς τὸ τῶν ἐναντίων
but with the army having-fallen into the of-the opponents
στρατόπεδον γέγονεν ὑπὸ ταῖς ἐκείνων χερσίν.
camp he-had-come under the their hands
23.6 (ἦν δέ τις ἐν τούτῳ τῷ Ῥωμαίων στρατῷ
was and (a)-certain(-man) in this the of-Romans army
νεανίας Σεβηριανός, Ἀσιατικοῦ παῖς, Φοῖνιξ, Ἐμεσηνὸς
(a)-young-man Severianus of-Asiaticus son (a)-Phoenician (an)-Emesene
γένος, καταλόγου ἱππικοῦ ἄρχων.
by-race of-unit cavalry commander

ὃς δὴ μόνος ξὺν τοῖς ἀμφ᾽ αὐτὸν στρατιώταις, 23.7
who indeed alone with the about him soldiers
πεντήκοντα οὖσι, τοῖς πολεμίοις ἐς χεῖρας ἦλθε.
fifty being with-the enemies into hands came
καὶ χρόνον μὲν ἀντεῖχόν τινα, ἔπειτα δὲ πλήθει πολλῷ 23.8
and time indeed held-out some then but by-number much
βιαζόμενοι ἐς λόφον ἀνέδραμον ἐνταῦθά πη ὄντα, οὗ
being-forced to (a)-hill ran-up there somewhere being where
δὴ καὶ φρούριον οὐκ ἀσφαλὲς ἦν.
indeed also (a)-fortress not secure was
διὸ δὴ ὁμολογίᾳ σφᾶς αὐτοὺς τοῖς ἐναντίοις ἐνταῦθα 23.9
wherefore indeed by-agreement them selves to-the opponents there
ἐπ᾽ αὐτοὺς ἀναβεβηκόσι παρέδωκαν.)
against them having-come-up surrendered
οἱ δὲ οὔτε αὐτὸν οὔτε τῶν στρατιωτῶν τινα ἔκτειναν, 23.10
they and neither him nor of-the soldiers any killed
ἀλλὰ ζωγρήσαντες ἅπαντας, Ἰμέριον μὲν ἐν φυλακῇ ἔσχον,
but having-taken-alive all Himerius indeed in custody held
τῷ δὲ Στότζᾳ τοὺς στρατιώτας παρέδοσαν, ὁμολογοῦντας
— and to-Stotzas the soldiers handed-over agreeing
σφίσι ξὺν προθυμίᾳ πολλῇ ἐπὶ Ῥωμαίους στρατεύσεσθαι·
to-them with eagerness much against Romans to-march
τὸν μέντοι Ἰμέριον, ἢν μὴ τὰ ἐπαγγελλόμενα ποιῇ,
— however Himerius if not the(-things) commanded he-should-do
κτείνειν ἠπείλουν.
to-kill they-threatened
ἐπήγγελλον δὲ πόλιν Ἀδραμητὸν ἐπιθαλασσίαν μηχανῇ 23.11
they-commanded and (the)-city Hadrumetum coastal by-device
τινι σφίσιν ἐνδοῦναι. καὶ ἐπεί οἱ ἰσχυρίζετο βουλομένῳ
some to-them to-hand-over and when to-him he-insisted wishing
εἶναι, ἐπὶ Ἀδραμητὸν ξὺν αὐτῷ ᾔεσαν.
to-be against Hadrumetum with him they-went

23.12 τῆς τε πόλεως ἀγχοῦ γενόμενοι Ἰμέριον μὲν ὀλίγῳ
the both city near having-come Himerius indeed (a)-little
ἔμπροσθεν ξὺν στρατιώταις τῶν Στότζᾳ ἑπομένων τισὶν
before with soldiers of-the Stotzas following some
ἔπεμψαν, Μαυρουσίους δεδεμένους δῆθεν ἐφέλκοντα, αὐτοὶ
they-sent Moors bound forsooth dragging-along themselves
δὲ ὄπισθεν εἵποντο.
and behind followed

23.13 καὶ τῷ Ἰμερίῳ εἰπεῖν τοῖς ἐφεστῶσι ταῖς τῆς πόλεως
and — to-Himerius to-say to-the(-ones) set-over the of-the city
πύλαις ἐπέστελλον, ὡς νικῴη μὲν κατὰ κράτος ὁ
gates they-instructed that was-victorious indeed by force the
βασιλέως στρατός, ἥξει δὲ Ἰωάννης αὐτίκα δὴ
of-(the)-emperor army will-come and John at-once indeed
μάλα, πλῆθος Μαυρουσίων δορυαλώτων ἄγων ἀριθμοῦ
very (a)-multitude of-Moors captured bringing than-number
κρεῖσσον· οὕτω τε τῶν πυλῶν σφίσιν ἀνοιγνυμένων, ἐντὸς
greater so both the gates to-them being-opened inside
τοῦ περιβόλου ξὺν τοῖς ἅμα αὐτῷ ἰοῦσι γενέσθαι.
the circuit-wall with the(-ones) together-with him going to-be

23.14 καὶ ὁ μὲν κατὰ ταῦτα ἐποίει. Ἀδραμητηνοὶ δὲ οὕτως
and he indeed according-to these(-things) did (the)-Hadrumetines and so
ἐξαπατηθέντες (οὐ γὰρ ἀπιστεῖν τῷ πάντων ἄρχοντι τῶν
deceived not for to-distrust the of-all commander of-the
ἐν Βυζακίῳ στρατιωτῶν εἶχον) τὰς πύλας ἀναπετάσαντες
in Byzacium soldiers could the gates having-thrown-open
τοὺς πολεμίους ἐδέχοντο.
the enemies received

23.15 τότε δὴ οἱ ξὺν τῷ Ἰμερίῳ ἐσβάντες σπασάμενοι
then indeed the(-ones) with — Himerius having-entered having-drawn
τὰ ξίφη τὰς πύλας ἐπιτιθέναι τοὺς ταύτῃ φύλακας οὐκέτι
the swords the gates to-shut the there guards no-longer

εἴων, ἀλλὰ πάντα τῇ πόλει αὐτίκα ἐδέξαντο τὸν τῶν
allowed but whole into-the city at-once received the of-the
Μαυρουσίων στρατόν.
Moors army
ληισάμενοί τε αὐτὴν οἱ βάρβαροι καὶ φύλακας 23.16
having-plundered both it the barbarians and guards
καταστησάμενοι ὀλίγους τινὰς ἀπηλλάσσοντο.
having-posted few some departed
Ῥωμαίων δὲ τῶν ζωγρηθέντων τινὲς μὲν φεύγοντες ἐς 23.17
of-Romans and the(-ones) taken-alive some indeed fleeing to
Καρχηδόνα ἦλθον, ἐν οἷς Σεβηριανός τε καὶ Ἰμέριος ἦν.
Carthage came among whom Severianus both and Himerius was
ἐκ Μαυρουσίων γὰρ τοῖς φεύγειν ἐθέλουσιν οὐ χαλεπὸν
from Moors for for-the(-ones) to-flee wishing not hard
ἦν. πολλοὶ δὲ καὶ ξὺν τῷ Στότζᾳ οὔτι ἄκοντες ἔμειναν.
it-was many and also with — Stotzas not-at-all unwilling remained
Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον τῶν τις ἱερέων, Παῦλος 23.18
in-time and not much later of-the one priests Paul
ὄνομα, ὃς δὴ ἐφεστήκει τῇ τῶν νοσούντων ἐπιμελείᾳ,
by-name who indeed had-been-set-over the of-the sick care
κοινολογησάμενος τῶν λογίμων τισίν, "αὐτὸς μὲν", ἔφη,
having-conferred of-the notable(-men) with-some myself indeed he-said
"ἐς Καρχηδόνα σταλήσομαι καὶ κατὰ τάχος ξὺν στρατῷ
to Carthage will-be-sent and with speed with (an)-army
ἐπανήξειν ἐλπίδα ἔχω, ὑμῖν δὲ μελήσει τῇ πόλει τὸ
to-return hope I-have to-you but it-will-matter in-the city the
βασιλέως στράτευμα δέξασθαι."
of-(the)-emperor army to-receive
οἱ μὲν οὖν αὐτὸν βρόχοις τισὶν ἀνάψαντες νύκτωρ 23.19
they indeed then him with-ropes some having-fastened by-night
ἀπὸ τοῦ περιβόλου καθῆκαν, ὁ δὲ παρὰ τῆς θαλάσσης
from the circuit-wall let-down he and to of-the sea

τὴν ἠιόνα γενόμενος, ὁλκάδος τε ἁλιέων ἐπιτυχὼν
the shore having-come of-(a)-boat both of-fishermen having-chanced-upon
ἐνταῦθά πη οὔσης χρήμασι πολλοῖς ἀναπείσας τοὺς
there somewhere being with-money much having-persuaded the
ταύτης κυρίους ἐς Καρχηδόνα ἔπλει.
of-it owners to Carthage sailed

23.20 οὗ δὴ καταπλεύσας καὶ Σεργίῳ ἐς ὄψιν ἐλθὼν τόν
where indeed having-sailed-in and to-Sergius into sight having-come the
τε λόγον ἅπαντα ἔφρασε καὶ στράτευμα λόγου ἄξιον
both account whole told and (an)-army of-account worthy
ὡς Ἀδραμητὸν ἀνασωσομένῳ διδόναι ἠξίου.
as Hadrumetum about-to-recover to-give asked

23.21 καὶ ἐπεὶ ταῦτα Σέργιον ἥκιστα ἤρεσκεν, ἅτε τοῦ ἐν
and when these(-things) Sergius least pleased as the in
Καρχηδόνι στρατοῦ οὐ πολλοῦ ὄντος, ὅδε ὀλίγους οἱ
Carthage army not much being he few to-him
στρατιώτας τινὰς διδόναι ἐδεῖτο, λαβών τε ἄνδρας οὐ
soldiers some to-give begged having-taken both men not
πλέον ὀγδοήκοντα, ἐπενόει τοιάδε.
more eighty devised such(-things)

23.22 νηῶν τε ἄθροισιν καὶ ἀκάτων συχνῶν ποιησάμενος
of-ships both (a)-gathering and of-boats many having-made
ναύτας τε πολλοὺς ἐνταῦθα ἐσεβίβασε καὶ Λίβυας ἄλλους,
sailors both many there he-embarked and Libyans others
ἱμάτια περιβεβλημένους, ἃ δὴ Ῥωμαίων οἱ στρατιῶται
cloaks wearing which indeed of-Romans the soldiers
εἰώθασιν ἐνδιδύσκεσθαι.
are-accustomed to-put-on

23.23 ἄρας τε τῷ παντὶ στόλῳ εὐθὺ Ἀδραμητοῦ κατὰ
having-set-out both with-the whole fleet straight-for Hadrumetum with
τάχος ἔπλει. καὶ ἐπεὶ αὐτῆς ἄγχιστα ἐγεγόνει, πέμψας τινὰς
speed sailed and when it nearest he-had-come having-sent some

λάθρα τοῖς τῆς πόλεως δοκίμοις ἐσήμαινεν ὡς Γερμανὸς
secretly to-the of-the city notables he-signified that Germanus
ὁ βασιλέως ἀνεψιὸς ἐς Καρχηδόνα ἔναγχος ἥκων
the of-(the)-emperor nephew to Carthage lately having-come
Ἀδραμητηνοῖς λόγου πολλοῦ ἄξιον στράτευμα πέμψειεν.
to-(the)-Hadrumetines of-account much worthy (an)-army had-sent
οἷς δὴ θαρσοῦντας ἐκέλευε τὴν νύκτα ἐκείνην ἀνακλῖναι 23.24
whom indeed taking-courage he-ordered the night that to-open
σφίσι πυλίδα μίαν.
for-them postern one
οἱ δὲ τὰ ἐπηγγελμένα ἐποίουν. οὕτω τε ὁ Παῦλος 23.25
they and the(-things) bidden did so both — Paul
ξὺν τοῖς ἑπομένοις ἐντὸς τοῦ περιβόλου γενόμενος τούς
with the(-ones) following inside the circuit-wall having-come the
τε πολεμίους ἅπαντας ἔκτεινε καὶ βασιλεῖ Ἀδραμητὸν
both enemies all killed and for-(the)-emperor Hadrumetum
ἀνεσώσατο, ἥ τε ἀμφὶ Γερμανῷ φήμη ἐνθένδε ἀρξαμένη
recovered the both about Germanus report thence having-begun
ἄχρι ἐς Καρχηδόνα ἐχώρησεν.
as-far-as to Carthage went
οἱ δὲ Μαυρούσιοι καὶ ὁ Στότζας ξὺν τοῖς ἑπομένοις 23.26
the and Moors and — Stotzas with the(-ones) following
ταῦτα ἀκούσαντες κατ᾽ ἀρχὰς μὲν κατωρρώδησάν
these(-things) having-heard at (the)-beginning indeed were-terrified
τε καὶ ἐς τὰς Λιβύης ἐσχατιὰς φεύγοντες ᾤχοντο, ἔπειτα
both and to the of-Libya farthest-parts fleeing went then
δὲ γνόντες τὸν ἀληθῆ λόγον δεινὰ ἐποιοῦντο, εἰ
but having-learned the true account terrible(-things) made(-of-it) if
αὐτοὶ Ἀδραμητηνῶν φεισάμενοι πάντων τοιαῦτα πρὸς
they (the)-Hadrumetines having-spared all such(-things) from
ἐκείνων πεπόνθασι.
them had-suffered

23.27 διὸ δὴ πανταχῆ ἐπισκήψαντες ἀνόσια Λίβυας ἔργα
wherefore indeed everywhere having-fallen-upon(-them) impious on-Libyans deeds
εἰργάσαντο, οὐδεμιᾶς ἡλικίας φεισάμενοι, γέγονέ τε τότε
wrought no age having-spared became both then
ἀνθρώπων ἔρημος ἐπὶ πλεῖστον ἡ χώρα.
of-men empty for most the land

23.28 Λιβύων γὰρ τῶν ἀπολελειμμένων οἱ μὲν ἐς τὰς
of-Libyans for of-the(-ones) left the indeed to the
πόλεις διέφευγον, οἱ δὲ ἔς τε Σικελίαν καὶ νήσους τὰς
cities escaped the and to both Sicily and islands the
ἄλλας.
other

23.29 οἱ μέντοι λόγιμοι σχεδόν τι ἅπαντες ἐς Βυζάντιον
the however notable nearly somewhat all to Byzantium
ἦλθον, ἐν τοῖς καὶ Παῦλος ἦν, ὁ τὴν Ἀδραμητὸν
came among whom also Paul was the(-one) — Hadrumetum
ἀνασωσάμενος βασιλεῖ.
having-recovered for-(the)-emperor

23.30 οἵ τε Μαυρούσιοι ἀδεέστερον, ἅτε οὐδενὸς σφίσιν
the both Moors more-fearlessly as no-one against-them
ἐπεξιόντος, ἦγόν τε καὶ ἔφερον ἅπαντα καὶ ξὺν αὐτοῖς
coming-out drove both and carried all(-things) and with them
ὁ Στότζας ἐν δυνάμει ὢν ἤδη.
— Stotzas in power being already

23.31 Ῥωμαῖοι γὰρ αὐτῷ στρατιῶται πολλοὶ εἵποντο, οἱ μὲν
Roman for him soldiers many followed the indeed
αὐτόμολοι ἥκοντες, οἱ δὲ κατ᾽ ἀρχὰς μὲν αἰχμάλωτοι
deserters having-come the and at (the)-beginning indeed captives
γεγενημένοι, ἐθελούσιοι δὲ αὐτοῦ μείναντες.
having-become willing but there having-remained

Ἰωάννης δέ, οὗ δὴ λόγος τις ἦν ἐν Μαυρουσίοις, 23.32
John and of-whom indeed account some was among Moors
Σεργίῳ προσκεκρουκὼς ἐς τὰ μάλιστα ἡσυχίαν ἦγεν.
with-Sergius having-fallen-out to the most quiet kept
Ἐν τούτοις δὲ βασιλεὺς ἄλλον ἐς Λιβύην στρατηγὸν 24.1
in these and (the)-emperor another to Libya general
Ἀρεόβινδον ξὺν στρατιώταις ὀλίγοις τισὶν ἔπεμψεν, ἄνδρα
Areobindus with soldiers few some sent (a)-man
ἐκ βουλῆς μὲν καὶ εὖ γεγονότα, ἔργων δὲ πολεμίων
from (the)-senate indeed and well born of-deeds but of-war
οὐδαμῶς ἔμπειρον.
in-no-way experienced
καὶ ξὺν αὐτῷ Ἀθανάσιον ἔπαρχον ἄρτι ἐξ Ἰταλίας ἥκοντα 24.2
and with him Athanasius (as)-prefect just from Italy having-come
ἔστελλε καὶ Ἀρμενίους ὀλίγους τινάς, ὧν Ἀρταβάνης
he-sent and Armenians few some whom Artabanes
τε καὶ Ἰωάννης ἦρχον, Ἰωάννου παῖδες, Ἀρσακίδαι μὲν
both and John commanded of-John sons Arsacids indeed
γένος, ἔναγχος δὲ ἀπολιπόντες τὸ Περσῶν στράτευμα, ἔς
by-race lately and having-left the of-Persians army to
τε Ῥωμαίους αὖθις ξὺν τοῖς ἄλλοις Ἀρμενίοις αὐτόμολοι
both Romans again with the other Armenians deserters
ἥκοντες.
having-come
συνῆν δὲ τῷ Ἀρεοβίνδῳ ἥ τε ἀδελφὴ καὶ Πρεϊέκτα 24.3
was-with and — Areobindus the both sister and Praeiecta
ἡ γυνή, Βιγλεντίας θυγάτηρ τῆς βασιλέως Ἰουστινιανοῦ
the wife of-Vigilantia daughter of-the of-emperor Justinian
ἀδελφῆς.
sister

24.4 οὐ μὴν οὐδὲ Σέργιον μετεπέμπετο, ἀλλ᾽ αὐτόν τε καὶ
not however not-even Sergius he-recalled but him both and
Ἀρεόβινδον Λιβύης στρατηγοὺς ἐκέλευεν εἶναι, τήν τε
Areobindus of-Libya generals ordered to-be the both
χώραν καὶ τῶν στρατιωτῶν τοὺς καταλόγους διελομένους.
land and of-the soldiers the units having-divided
24.5 ἐπέβαλε δὲ Σεργίῳ μὲν τὸν πόλεμον διενεγκεῖν πρὸς τοὺς
he-assigned and to-Sergius indeed the war to-carry-on against the
ἐν Νουμιδίᾳ βαρβάρους, Ἀρεοβίνδῳ δὲ τοῖς ἐν Βυζακίῳ
in Numidia barbarians to-Areobindus and the in Byzacium
Μαυρουσίοις ἀεὶ διαμάχεσθαι.
Moors always to-fight
24.6 καταπλεύσαντός τε τοῦ στόλου τούτου ἐς Καρχηδόνα
having-sailed-in both the fleet this to Carthage
Σέργιος μὲν ἐπὶ Νουμιδίας ξὺν τῷ οἰκείῳ στρατῷ
Sergius indeed to Numidia with the own army
ἀπιὼν ᾤχετο, Ἀρεόβινδος δὲ Ἀντάλαν τε καὶ Στότζαν
departing went Areobindus and Antalas both and Stotzas
ἐνστρατοπεδεύεσθαι μαθὼν ἀμφὶ πόλιν Σικκαβενερίαν,
to-be-encamped having-learned about (the)-city Siccaveneria
τριῶν ἡμερῶν ὁδῷ Καρχηδόνος διέχουσαν, Ἰωάννην
of-three days by-road from-Carthage being-distant John
τὸν Σισινιόλου ἐπ᾽ αὐτοὺς ἐκέλευεν ἰέναι τοῦ στρατοῦ
the of-Sisiniolus against them ordered to-go of-the army
ἀπολεξάμενον εἴ τι ἄριστον ἦν·
having-picked-out if anything best was
24.7 τῷ τε Σεργίῳ ἔγραφε τοῖς ἀμφὶ τὸν Ἰωάννην
— both to-Sergius he-wrote with-the(-ones) about — John
ἀναμίγνυσθαι, ἐφ᾽ ᾧ κοινῇ ἅπαντες ὁμόσε τοῖς
to-join on which together all to-close-quarters with-the
πολεμίοις χωρήσουσι.
enemies should-advance

Σέργιος μὲν οὖν τῶν τε γεγραμμένων καὶ τοῦ ἔργου 24.8
Sergius indeed then of-the(-things) both written and of-the task
τούτου ὀλιγωρεῖν ἔγνω, ὁ δὲ Ἰωάννης ξὺν ὀλίγῳ στρατῷ
this to-make-light decided — and John with small army
ἀμυθήτῳ ἠνάγκαστο πολεμίων πλήθει ἐς χεῖρας ἰέναι.
with-countless was-compelled of-enemies multitude into hands to-go
ἦν δὲ αὐτῷ τε καὶ Στότζᾳ μέγα τι ἀεὶ ἐς ἀλλήλους 24.9
was and to-him both and to-Stotzas great some always toward one-another
ἔχθος, ἑκάτερός τε αὐτοῖν ηὔχετο φονεὺς θατέρου
hatred each both of-them prayed (the)-slayer of-the-other
γενόμενος οὕτω δὴ ἐξ ἀνθρώπων ἀφανισθῆναι.
having-become so indeed from men to-vanish
τότε γοῦν, ἐπειδὴ τάχιστα ἡ μάχη ἐν χερσὶ γίγνεσθαι 24.10
then at-any-rate when quickest the battle at hand to-be
ἔμελλεν, ἄμφω ἐκ τῶν στρατοπέδων ἐλαύνοντες ἐπ᾽
was-about both from the armies riding against
ἀλλήλους ἦλθον.
one-another came
ὁ μὲν οὖν Ἰωάννης ἐντείνας τὸ τόξον ἔτι προσιόντα τὸν 24.11
— indeed then John having-drawn the bow still approaching —
Στότζαν κατὰ βουβῶνα τὸν δεξιὸν ἐπιτυχὼν βάλλει, ὁ δὲ
Stotzas in groin the right hitting strikes he and
καιρίαν πληγεὶς αὐτοῦ ἔπεσεν, οὔπω μὲν τεθνεώς,
(a)-mortal(-wound) struck there fell not-yet indeed dead
χρόνον δέ τινα ὀλίγον ταύτῃ δὴ ἐπιβιωσόμενος τῇ πληγῇ.
time but some little this indeed about-to-survive the wound
ἐπελθόντες δὲ πάντες αὐτίκα, ὅσοι τε αὐτῷ εἵποντο καὶ 24.12
having-come-up and all at-once as-many-as both him followed and
ὁ τῶν Μαυρουσίων στρατός, Στότζαν μὲν ὀλιγοψυχοῦντα
the of-the Moors army Stotzas indeed fainting
ἐπὶ δένδρου τινὸς ἔθεντο, αὐτοὶ δὲ θυμῷ πολλῷ
under tree some placed they and with-anger much

ἐπὶ τοὺς πολεμίους χωρήσαντες τόν τε Ἰωάννην καὶ
against the enemies having-advanced — both John and
Ῥωμαίους ἅπαντας ἅτε πλήθει πολλῷ ὑπεραίροντες,
Romans all as in-number much exceeding
οὐδενὶ πόνῳ ἐτρέψαντο.
with-no toil routed

24.13 τότε δή φασιν εἰπεῖν τὸν Ἰωάννην ὡς ἡδύ τινα
then indeed they-say to-have-said — John that sweet some
θάνατον θνήσκοι, ἐπεί οἱ τὰ τῆς εὐχῆς ἀμφὶ τῷ
death he-died since for-him the(-things) of-the prayer about —
Στότζᾳ ἐς πέρας ἀφῖκται. χῶρος δέ τις ἦν κατάντης
Stotzas to fulfillment had-come place and (a)-certain was sloping
ἐνταῦθα, οὗ δὴ αὐτὸν ἀποβάλλει ὀκλάσας ὁ ἵππος.
there where indeed him throws having-stumbled the horse

24.14 ἐφ᾽ ὃν αὖθις αὐτὸν ἀναθρώσκειν πειρώμενον καταλαβόντες
onto which again him to-leap-up trying having-overtaken
οἱ πολέμιοι κτείνουσιν, ἄνδρα γενόμενον δόξῃ τε
the enemies kill (a)-man having-been in-reputation both
καὶ ἀρετῇ μέγαν. ὅπερ ὁ Στότζας μαθὼν ἐτελεύτησε,
and in-valor great which — Stotzas having-learned died
τοσοῦτον εἰπών, ὡς ἥδιστα τὸ λοιπὸν θνήσκοι.
so-much having-said that most-sweetly the rest he-died

24.15 ἐν ταύτῃ τῇ μάχῃ καὶ Ἰωάννης Ἀρμένιος Ἀρταβάνου
in this the battle also John (the)-Armenian of-Artabanes
ἀδελφὸς θνήσκει, ἔργα ἐς τοὺς πολεμίους ἐπιδειξάμενος
brother dies deeds against the enemies having-displayed
ἀρετῆς ἄξια.
of-valor worthy

24.16 βασιλεὺς δὲ ταῦτα ἀκούσας περιώδυνός τε τῇ τοῦ
(the)-emperor and these(-things) having-heard grieved both at-the —
Ἰωάννου ἀρετῇ γεγονὼς μάλιστα, ἀξύμφορόν τε νομίσας
of-John valor having-become most disadvantageous both having-thought

εἶναι τοῖν δυοῖν στρατηγοῖν τὴν ἀρχὴν διέπειν, τὸν μὲν
to-be the two generals the command to-manage — indeed
Σέργιον εὐθὺς μεταπεμψάμενος ἐς Ἰταλίαν ξὺν στρατῷ
Sergius at-once having-recalled to Italy with (an)-army
ἔπεμψεν, Ἀρεοβίνδῳ δὲ ἅπαν τὸ Λιβύης παρέδωκε κράτος.
sent to-Areobindus but whole the of-Libya handed-over power

XXI · THE TYRANNY OF GONTHARIS

Gontharis plots with Antalas and seizes the gates of Carthage. Areobindus, seeing men killed for the first time, flees to a monastery, comes out on the priest's oath holding a baptized child, and is murdered after dinner. Cheated, Antalas turns to the emperor. Gregory urges Artabanes to kill the tyrant; sent against Antalas, Artabanes feigns a retreat and returns.

Γόνθαρις δὲ δυοῖν μησὶν ὕστερον ἢ Σέργιος ἐνθένδε 25.1
Gontharis and two months later than Sergius thence
ἀπιὼν ᾤχετο, τυραννίδι ἐπέθετο τρόπῳ τοιῷδε. ἐτύγχανε
departing went to-tyranny set-himself in-way such happened
μὲν αὐτὸς τῶν ἐν Νουμίδαις καταλόγων ἡγούμενος
indeed himself of-the among Numidians units leading
διατριβήν τε διὰ τοῦτο ἐνταῦθα ἔχων, ἔπρασσε δὲ
(a)-stay both because-of this there having he-intrigued and
λάθρα ἐς Μαυρουσίους ὅπως ἐπὶ Καρχηδόνα χωρήσωσιν.
secretly with Moors so-that against Carthage they-might-advance
αὐτίκα τοίνυν ἔκ τε Νουμιδίας καὶ Βυζακίου πολεμίων 25.2
at-once therefore from both Numidia and Byzacium of-enemies
στρατὸς ἐς ταὐτὸ ἀγηγερμένος ἐπὶ Καρχηδόνα σπουδῇ
(an)-army into the-same gathered against Carthage with-haste

πολλῇ ᾔεσαν. ἡγεῖτο δὲ Νουμιδῶν μὲν Κουτζίνας τε
much went led and of-Numidians indeed Cutzinas both
καὶ Ἰαύδας, Βυζακηνῶν δὲ Ἀντάλας.
and Iaudas of-Byzacenes and Antalas

25.3 ξυνῆν δὲ αὐτῷ καὶ Ἰωάννης ὁ τύραννος ξὺν τοῖς
was-with and him also John the tyrant with the(-ones)
ἑπομένοις, ὃν δὴ οἱ στασιῶται, Στότζα τετελευτηκότος,
following whom indeed the mutineers Stotzas having-died
ἄρχοντα σφίσιν αὐτοῖς κατεστήσαντο.
commander for-them selves had-set-up

25.4 γνοὺς δὲ Ἀρεόβινδος τὴν ἔφοδον ἄλλους τε τῶν
having-learned and Areobindus the approach others both of-the
ἀρχόντων ξὺν τοῖς ἑπομένοις ἐς Καρχηδόνα καὶ Γόνθαριν
commanders with the(-ones) following to Carthage and Gontharis
μετεπέμπετο. παρῆν δὲ αὐτῷ ξὺν τοῖς Ἀρμενίοις καὶ
summoned was-present and with-him with the Armenians also
Ἀρταβάνης.
Artabanes

25.5 ὁ μὲν οὖν Ἀρεόβινδος Γόνθαριν ἐξηγεῖσθαι παντὶ τῷ
— indeed then Areobindus Gontharis to-lead with-all the
στρατῷ ἐπὶ τοὺς πολεμίους ἐκέλευεν.
army against the enemies ordered

25.6 ὁ δὲ προθύμως οἱ τὰ ἐς τὸν πόλεμον ὑπηρετήσειν
he and eagerly to-him the(-things) for the war to-serve
ὑποσχόμενος ἐποίει τάδε. τῶν οἰκετῶν ἕνα, Μαυρούσιον
having-promised did these(-things) of-the servants one Moorish
μὲν γένος, τέχνην δὲ μάγειρον, ἐς τὸ τῶν πολεμίων
indeed by-race by-craft and (a)-cook to the of-the enemies
στρατόπεδον ἐκέλευσεν ἰέναι, καὶ δόκησιν μὲν τοῖς
camp he-ordered to-go and (the)-appearance indeed to-the
ἄλλοις παρέχεσθαι ὅτι δὴ τὸν δεσπότην ἀποδρὰς
others to-give that indeed the master having-run-away

ᾤχετο, λάθρα δὲ τῷ Ἀντάλᾳ εἰπεῖν ὡς αὐτῷ Γόνθαρις
he-had-gone secretly but — to-Antalas to-say that with-him Gontharis
κοινωνεῖν βούλοιτο τῆς Λιβύων ἀρχῆς.
to-share wished of-the of-Libyans rule
ὁ μὲν οὖν μάγειρος κατὰ ταῦτα ἐποίει, ὁ δὲ 25.7
the indeed then cook according-to these(-things) did — and
Ἀντάλας τὸν μὲν λόγον ἀσμένως ἤκουσε, τοσοῦτον δὲ
Antalas the indeed proposal gladly heard so-much but
ἀπεκρίνατο, ὡς αἱ γενναῖαι τῶν πράξεων οὐ διὰ τῶν
answered that the noble of-the deeds not through the
μαγείρων ἐπιγίνεσθαι τοῖς ἀνθρώποις πεφύκασι.
cooks to-come to-the men are-wont
ταῦτα ἐπεὶ Γόνθαρις ἤκουσε, τῶν δορυφόρων ἕνα, 25.8
these(-things) when Gontharis heard of-the guards one
Οὐλίθεον ὄνομα, ᾧ δὴ μάλιστα πιστοτάτῳ ἐχρῆτο,
Ulitheus by-name whom indeed most as-most-faithful he-used
παρὰ τὸν Ἀντάλαν εὐθὺς ἔπεμψεν, ὡς ἀγχοτάτω
to — Antalas at-once sent as nearest
Καρχηδόνος αὐτὸν παρακαλῶν ἰέναι.
to-Carthage him summoning to-come
οὕτω γάρ οἱ τὸν Ἀρεόβινδον ἐξ ἀνθρώπων ἀφανιεῖν 25.9
so for to-him — Areobindus from men to-make-vanish
ἐπηγγέλλετο.
he-promised
ὁ μὲν οὖν Οὐλίθεος κρύφα τῶν ἄλλων βαρβάρων 25.10
— indeed then Ulitheus secretly-from the other barbarians
Ἀντάλᾳ ξυμβαίνει, ἐφ' ᾧ Βυζακίου μὲν Ἀντάλας ἄρχοι,
with-Antalas agrees on which of-Byzacium indeed Antalas should-rule
τό τε ἥμισυ τῶν Ἀρεοβίνδου χρημάτων ἔχων καὶ
the both half of-the of-Areobindus money having and
πεντακοσίους τε καὶ χιλίους στρατιώτας Ῥωμαίους σὺν
five-hundred both and thousand soldiers Roman with

αὐτῷ ἐπαγόμενος, Γόνθαρις δὲ τὸ βασιλέως ἀξίωμα λάβοι,
himself bringing Gontharis and the of-king dignity should-take
Καρχηδόνος τε τὸ κράτος καὶ Λιβύης τῆς ἄλλης ἔχων.
of-Carthage both the power and of-Libya the other having
25.11 ταῦτά τε διαπεπραγμένος ἐπανῆκεν ἐς τὸ Ῥωμαίων
these(-things) both having-accomplished he-returned to the of-Romans
στρατόπεδον, ὅπερ ἅπαν πρὸ τοῦ περιβόλου πεποίηντο,
camp which all before the circuit-wall they-had-made
ἐν σφίσιν αὐτοῖς τὰ φυλακτήρια πύλης ἑκάστης
among them selves the guard-posts of-gate each
νειμάμενοι.
having-distributed
25.12 οἱ δὲ βάρβαροι οὐ πολλῷ ὕστερον εὐθὺ Καρχηδόνος
the and barbarians not much later straight-for Carthage
σπουδῇ πολλῇ ᾔεσαν, ἔν τε χωρίῳ τῷ Δεκίμῳ καλουμένῳ
with-haste much went in both (the)-place the Decimum called
στρατοπεδευσάμενοι ἔμενον. ἐνθένδε τε ἄραντες τῇ
having-encamped remained thence both having-set-out on-the
ὑστεραίᾳ πρόσω ἐχώρουν.
next-day forward advanced
25.13 τινὲς δὲ ὑπαντιάσαντες τοῦ Ῥωμαίων στρατοῦ, ἐς χεῖράς
some and having-met(-them) of-the of-Romans army into hands
τε αὐτοῖς ἀπροσδόκητοι ἦλθον καὶ Μαυρουσίους οὐ
both with-them unexpected came and Moors not
συχνοὺς ἔκτειναν.
many killed
25.14 οὓς δὴ ὁ Γόνθαρις εὐθὺς ἀνεκάλει κακίζων ἅτε
whom indeed — Gontharis at-once recalled reproaching(-them) as
ἀνεπισκέπτως τε θρασυνομένους καὶ τὰ Ῥωμαίων
inconsiderately both being-rash and the of-Romans
πράγματα ἐθέλοντας ἐς προῦπτόν τινα ἐμβαλεῖν κίνδυνον.
affairs wishing into manifest some to-throw danger

Ἐν τούτῳ δὲ Ἀρεόβινδος πέμψας παρὰ τὸν Κουτζίναν 25.15
in this and Areobindus having-sent to — Cutzinas
λάθρα ἔπρασσε προδοσίας πέρι. καί οἱ ὁ Κουτζίνας
secretly intrigued treachery about and to-him — Cutzinas
ὡμολόγησεν, ἐπειδὰν ἐν τῷ ἔργῳ γένωνται, ἐπί τε
agreed when in the action they-should-be against both
Ἀντάλαν καὶ Μαυρουσίους τοὺς ἐν Βυζακίῳ τραπέσθαι.
Antalas and Moors the in Byzacium to-turn
Μαυρούσιοι γὰρ οὔτε πρὸς ἄλλων ἀνθρώπων τινὰς οὔτε 25.16
Moors for neither toward other men any nor
πρὸς ἀλλήλους τὸ πιστὸν ἔχουσι. ταῦτα ἐς Γόνθαριν
toward one-another the faith have these(-things) to Gontharis
Ἀρεόβινδος ἐξήνεγκεν.
Areobindus divulged
ὁ δὲ παρακρούεσθαί τε καὶ ἀναβάλλεσθαι τὴν πρᾶξιν 25.17
he and to-mislead both and to-put-off the action
ἐθέλων παρῄνει τῷ Ἀρεοβίνδῳ τὸ πιστὸν ἐς Κουτζίναν
wishing advised — to-Areobindus the trust toward Cutzinas
ὡς ἥκιστα ἔχειν, ἢν μὴ τοὺς παῖδας ἐν ὁμήρων λόγῳ
as least to-have if not the children in of-hostages account
παρ᾽ αὐτοῦ λάβοι.
from him he-should-take
Ἀρεόβινδος μὲν οὖν καὶ Κουτζίνας λάθρα παρ᾽ ἀλλήλους 25.18
Areobindus indeed then and Cutzinas secretly to one-another
ἀεὶ πέμποντες ἀμφὶ τῇ ἐς Ἀντάλαν ἐπιβουλῇ διατριβὴν
always sending about the toward Antalas plot delay
εἶχον.
had
Γόνθαρις δὲ αὖθις τὸν Οὐλίθεον στείλας ἔκπυστα τῷ 25.19
Gontharis and again — Ulitheus having-sent known —
Ἀντάλᾳ ἐποίησε τὰ πρασσόμενα.
to-Antalas made the(-things) being-done

25.20 καὶ ὃς οὔτε τι τῷ Κουτζίνᾳ ἐπικαλεῖν ἔγνω οὔτε ὅτι
and he neither anything — against-Cutzinas to-charge decided nor that
ἐπέπυστο τὴν ἐπιβουλὴν ἔνδηλος αὐτῷ ἐγεγόνει, οὐ μὴν
he-had-learned the plot manifest to-him had-become not indeed
οὐδέ τι ἐξήνεγκε τῶν αὐτῷ τε καὶ Γονθάριδι
not-even anything divulged of-the(-things) by-him both and by-Gontharis
ξυγκειμένων.
agreed

25.21 ἀλλήλοις δὲ ἄμφω πολέμιοί τε καὶ δυσμενεῖς ταῖς
to-one-another but both enemies both and hostile in-the
γνώμαις ὄντες νῷ τε πονηρῷ ξυνετάσσοντο, ἐπί
minds being with-mind both wicked were-ranged-together against
τε τὸν οἰκεῖον ἑκάτερος φίλον ἀλλήλοις ξυστρατεύοντες
both the own each friend with-one-another campaigning-together
ᾔεσαν.
went

25.22 τοιαύτῃ μὲν γνώμῃ Κουτζίνας τε καὶ Ἀντάλας ἐπὶ
with-such indeed purpose Cutzinas both and Antalas against
Καρχηδόνα τὸν Μαυρουσίων στρατὸν ἐπῆγον. Γόνθαρις δὲ
Carthage the of-Moors army led Gontharis and
κτεῖναι μὲν τὸν Ἀρεόβινδον διενοεῖτο, τοῦ δὲ μὴ δοκεῖν
to-kill indeed — Areobindus intended of-the but not to-seem
τυραννίδος ἐπιβατεύειν, ἐν παρατάξει λάθρα τοῦτο δρᾶν
tyranny to-be-aiming-at in battle-line secretly this to-do
ἤθελεν, ὅπως πρὸς ἑτέρων μὲν ἡ ἐπιβουλὴ ἐς τὸν
he-wished so-that by others indeed the plot against the
στρατηγὸν γεγενῆσθαι δόξειεν, αὐτὸς δὲ ἀναγκασθείη
general to-have-been-made it-might-seem himself and be-compelled
τῷ Ῥωμαίων στρατῷ ἀνελέσθαι τὴν Λιβύης ἀρχήν.
by-the of-Romans army to-take-up the of-Libya rule

ἀπάτῃ τοίνυν τὸν Ἀρεόβινδον περιελθὼν πείθει τοῖς 25.23
by-deceit therefore — Areobindus having-got-round persuades with-the
πολεμίοις ἐπεξελθόντα ὁμόσε ἰέναι, ἤδη που
enemies having-gone-out to-close-quarters to-go already somewhere
Καρχηδόνος ἄγχιστα ἥκουσιν.
to-Carthage nearest having-come
ἐδόκει γοῦν αὐτῷ τῇ ὑστεραίᾳ παντὶ τῷ στρατῷ 25.24
it-seemed at-any-rate to-him on-the next-day with-all the army
ἐξηγήσεσθαι ἐπὶ τοὺς πολεμίους ἅμα ἡλίῳ
to-lead against the enemies at-the-same(-time) with-(the)-sun
ἀνίσχοντι.
rising
ἀλλ᾽ Ἀρεόβινδος ἀπείρως τε λίαν ἐς τὸ πρᾶγμα τοῦτο 25.25
but Areobindus inexperiencedly both very toward the matter this
καὶ ὀκνηρῶς ἔχων μελλήσει ἐχρῆτο οὐδενὶ λόγῳ.
and hesitantly being with-delay used with-no reason
μελετῶν τε γὰρ ὅπως ἐνδύσαιτο τὴν τῶν ὅπλων σκευὴν 25.26
practicing both for how he-should-put-on the of-the arms equipment
καὶ τἄλλα ἐξαρτυόμενος ἐς τὴν ἔξοδον τὸν πλεῖστον
and the-other(-things) preparing for the sally the most
τῆς ἡμέρας ἀνάλωσε χρόνον.
of-the day spent time
διὸ δὴ τὴν παράταξιν ἐς τὴν ἐπιοῦσαν ἀποθέμενος 25.27
wherefore indeed the battle to the following(-day) having-put-off
ἡσυχῇ ἔμενε.
quietly remained
Γόνθαρις δὲ αὐτὸν ἐξεπίτηδες τὴν μέλλησιν πεποιῆσθαι 25.28
Gontharis and him deliberately the delay to-have-made
ὑποτοπήσας ἅτε τῶν πρασσομένων αἰσθανόμενον,
having-suspected as of-the(-things) being-done perceiving

ἐκ τοῦ ἐμφανοῦς τόν τε φόνον τοῦ στρατηγοῦ καὶ τῆς
from the open the both murder of-the general and of-the
τυραννίδος τὴν ἐπίθεσιν ἐπιτελεῖν ἔγνω.
tyranny the attempt to-accomplish decided

26.1 Ἡμέρᾳ τε τῇ ἐπιγενομένῃ ἐποίει τάδε. τὰς πύλας
on-day both the following he-did these(-things) the gates
ἀναπετάσας, οὗ δὴ αὐτὸς φυλακὴν εἶχε, λίθους μὲν
having-thrown-open where indeed himself guard he-had stones indeed
ὑπερφυεῖς ἔνερθεν ἔθηκεν, ὡς μή τις αὐτὰς ἐπιτιθέναι
enormous beneath he-placed so-that not anyone them to-shut
εὐπετῶς δύναιτο, ἄνδρας τε τεθωρακισμένους καὶ τὰ τόξα
easily might-be-able men both armored and the bows
ἐν χερσὶν ἔχοντας ἀμφὶ τὰς ἐπάλξεις πολλοὺς ἔστησεν, αὐτός
in hands having about the battlements many he-set himself
τε τὸν θώρακα ἐνδὺς εἱστήκει ἐν μέσαις ταῖς πύλαις.
both the breastplate having-put-on stood in (the)-middle-of the gates

26.2 ἐπενόει δὲ ταῦτα οὐ Μαυρουσίων ἕνεκα, ὅπως
he-devised and these(-things) not of-Moors for-the-sake so-that
τῇ πόλει αὐτοὺς δέξηται (ἀβέβαιοι γὰρ Μαυρούσιοι
into-the city them he-might-receive unstable for Moors
παντάπασιν ὄντες ὑπόπτως ἔχουσιν ἐς πάντας ἀνθρώπους.
altogether being suspiciously are toward all men

26.3 τοῦτό τε αὐτοῖς οὐκ ἄπο τοῦ εἰκότος γενέσθαι ξυμβαίνει.
this both to-them not from the likely to-happen befalls
ἐπεὶ ὅστις ἄπιστος ἐς τοὺς πέλας καθέστηκε φύσει,
since whoever faithless toward the neighbors is by-nature
οὐδὲ αὐτὸς πιστεύειν ὁτῳοῦν δύναται, ἀλλ᾽ ὑπόπτως
not-even himself to-trust anyone can but suspiciously
ἔχειν ἀναγκάζεται ἐς πάντας ἀνθρώπους ἐκ τῆς αὐτοῦ
to-be is-compelled toward all men from the his-own
γνώμης τὸν τοῦ πέλας σταθμώμενος τρόπον.
judgment the of-the neighbor measuring character

διὸ δὴ οὐδὲ Μαυρουσίους ἤλπιζε Γόνθαρις πιστεύσαντάς 26.4
wherefore indeed not-even Moors hoped Gontharis having-trusted
οἱ ἐντὸς τοῦ περιβόλου γενήσεσθαι), ἀλλ᾽ ὅπως Ἀρεόβινδος
him inside the circuit-wall to-come but so-that Areobindus
ἐμπεσὼν ἐς μέγα τι δέος ἐς φυγήν τε εὐθὺς ὁρμηθείη καὶ
having-fallen into great some fear to flight both at-once might-be-driven and
κατὰ τάχος Καρχηδόνα ἀπολιπὼν ἐπὶ Βυζαντίου κομίζοιτο.
with speed Carthage having-left to Byzantium might-be-conveyed
καὶ ἔτυχέ γε τῆς ἀληθοῦς ἐννοίας, εἰ μὴ χειμὼν μεταξὺ 26.5
and he-hit at-least the true reckoning if not (a)-storm meanwhile
ἐπιγενόμενος διεκώλυσε.
having-come-on had-prevented(-it)
μαθὼν δὲ Ἀρεόβινδος τὰ ποιούμενα, τόν τε 26.6
having-learned and Areobindus the(-things) being-done — both
Ἀθανάσιον καὶ τῶν δοκίμων τινὰς μετεπέμπετο.
Athanasius and of-the notables some summoned
παρῆν δέ οἱ καὶ Ἀρταβάνης ἐκ τοῦ στρατοπέδου τρίτος 26.7
was-present and to-him also Artabanes from the camp third
αὐτός, τῷ τε Ἀρεοβίνδῳ παρῄνει μήτε ἀναπεπτωκέναι
himself — both to-Areobindus advised neither to-be-dispirited
μήτε τόλμῃ τῇ Γονθάριδος ἐνδιδόναι, ἀλλ᾽ αὐτίκα μάλα
nor to-daring the of-Gontharis to-give-way but at-once very
ἐπ᾽ αὐτὸν ὁμοῦ ξὺν πᾶσι τοῖς οἱ ἑπομένοις ἰόντα ἔργου
against him together with all the him following going (the)-deed
ἔχεσθαι, πρίν τι περαιτέρω γεγονέναι κακόν.
to-take-in-hand before any further to-have-happened evil
τὰ μὲν οὖν πρῶτα πέμψας Ἀρεόβινδος παρὰ Γόνθαριν 26.8
the indeed then first having-sent Areobindus to Gontharis
τῶν ἐπιτηδείων τινά, Φρέδαν ὄνομα, ἐκέλευεν ἀποπειρᾶσθαι
of-the intimates one Phredas by-name ordered to-make-trial-of
τῆς αὐτοῦ γνώμης.
the his intent

26.9 ἐπεὶ δὲ ὁ Φρέδας ἐπανήκων οὐδαμῇ ἀπαρνεῖσθαι Γόνθαριν
when and — Phredas returning in-no-way to-deny Gontharis
τὴν τυραννίδα ἐσήγγελλεν, ἤδη ἐπ᾽ αὐτὸν ὡς ἐς μάχην
the tyranny announced already against him as to battle
ἰέναι διενοεῖτο.
to-go intended

26.10 Ἐν τούτῳ δὲ Γόνθαρις Ἀρεόβινδον εἰς τοὺς στρατιώτας
in this and Gontharis Areobindus to the soldiers
διέβαλεν, ὡς ἄνανδρός τε εἴη καὶ ἅμα μὲν
slandered that cowardly both he-was and at-the-same(-time) indeed
δέει ἐς τοὺς πολεμίους ἐχόμενος, ἅμα δὲ τὰς
by-fear toward the enemies held at-the-same(-time) and the
συντάξεις σφίσιν ὡς ἥκιστα ἐθέλων διδόναι, δρασμόν τε ξὺν
pay to-them as least wishing to-give flight both with
Ἀθανασίῳ βουλεύεται καὶ αὐτίκα ἐκ Μανδρακίου ἀποπλεῖν
Athanasius he-plots and at-once from Mandracium to-sail-away
μέλλουσιν, ὅπως οἱ στρατιῶται λιμῷ τε καὶ Μαυρουσίοις
they-are-about so-that the soldiers with-famine both and with-Moors
μαχόμενοι διαφθείρωνται, ἐπυνθάνετό τε εἴπερ αὐτοῖς
fighting might-perish he-inquired both whether to-them
βουλομένοις εἴη ἄμφω ξυλλαβοῦσιν ἐν φυλακῇ ἔχειν.
wishing it-would-be both having-seized in custody to-hold

26.11 οὕτω γὰρ ἤλπιζεν Ἀρεόβινδον ἢ τοῦ θορύβου ᾐσθημένον
so for he-hoped Areobindus either the uproar having-perceived
φυγῇ χρήσεσθαι, ἢ καταληφθέντα πρὸς τῶν στρατιωτῶν
to-flight would-resort or having-been-caught by the soldiers
διαφθαρήσεσθαι οὐδενὶ λόγῳ.
would-perish with-no reason

26.12 χρήματα μέντοι αὐτὸς οἴκοθεν ὡμολόγει τοῖς στρατιώταις
money however himself from-home agreed to-the soldiers
προΐεσθαι ὅσαπερ αὐτοῖς τὸ δημόσιον ὤφλε.
to-give-out as-much-as to-them the treasury owed

καὶ οἱ μὲν τούς τε λόγους ἐπῄνουν καὶ θυμῷ ἐς 26.13
and they indeed the both words praised and with-anger toward
τὸν Ἀρεόβινδον πολλῷ εἴχοντο, μεταξὺ δὲ Ἀρεόβινδος
— Areobindus much were-held meanwhile and Areobindus
ξύν τε Ἀρταβάνῃ καὶ τοῖς ἑπομένοις ἐνταῦθα ἀφίκεται.
with both Artabanes and the(-ones) following there arrives
καὶ γίνεται μάχη ἔν τε ταῖς ἐπάλξεσι καὶ κάτω ἀμφὶ 26.14
and occurs (a)-battle on both the battlements and below about
τὰς πύλας, οὗ Γόνθαρις εἱστήκει, ἐν ᾗ οὐδέτεροι τὸ
the gates where Gontharis stood in which neither the
ἔλασσον ἔσχον.
worse had
ἔμελλόν τε ξυλλεγόμενοι ἐκ τῶν στρατοπέδων, ὅσοι 26.15
they-were-about both gathering from the camps as-many-as
βασιλεῖ εὐνοϊκῶς εἶχον, τοὺς στασιώτας κατὰ κράτος
to-(the)-emperor well-disposed were the mutineers by force
ἑλεῖν. οὐ γὰρ ἅπαντας ὁ Γόνθαρίς πω ἐξηπατήκει, ἀλλ᾽
to-take not for all — Gontharis yet had-deceived but
οἱ πλεῖστοι ἔτι ταῖς γνώμαις ἀκραιφνεῖς ἔμενον.
the most still in-the minds unimpaired remained
Ἀρεόβινδος δὲ τότε πρῶτον ἄνδρας κτεινομένους ἰδὼν 26.16
Areobindus but then first men being-killed having-seen
(οὐ γάρ πω ἐθὰς τοῦ θεάματος τούτου ἐτύγχανεν ὤν)
not for yet accustomed to-the sight this he-happened being
κατεπλάγη τε καὶ ἀποδειλιάσας οὐκ ἐνεγκών τε τὰ
was-terrified both and having-lost-courage not having-borne both the(-things)
ὁρώμενα φεύγει.
seen flees
ἔστι δέ τις ἐντὸς τοῦ Καρχηδόνος περιβόλου νεὼς 26.17
is and (a)-certain inside the of-Carthage circuit-wall temple
πρὸς τῇ τῆς θαλάσσης ἀκτῇ, οὗ δὴ ἄνδρες οἰκοῦσιν,
at the of-the sea shore where indeed men dwell

οἷς τὰ ἐς τὸ θεῖον ἀκριβῶς ἤσκηται· μοναχοὺς
by-whom the(-things) toward the divine strictly are-practiced monks
καλεῖν τοὺς ἀνθρώπους ἀεὶ νενομίκαμεν· τοῦτον Σολόμων
to-call the men always we-are-accustomed this Solomon
δειμάμενος τὸν νεὼν οὐ πολλῷ πρότερον τειχίσματί τε
having-built the temple not much before with-(a)-wall both
περιβαλὼν φρούριον ἐχυρώτατον κατεστήσατο.
having-surrounded fortress (a)-very-strong made

26.18 ἐνταῦθα καταφυγὼν Ἀρεόβινδος ἐσεπήδησεν, ἔνθα τήν τε
there having-fled Areobindus leapt-in where the both
γυναῖκα καὶ τὴν ἀδελφὴν ἐτύγχανε πέμψας.
wife and the sister he-happened having-sent

26.19 τότε καὶ Ἀρταβάνης ἀπιὼν ᾤχετο, καὶ οἱ λοιποὶ ξύμπαντες
then also Artabanes departing went and the remaining all
ἐνθένδε ἀνεχώρουν ὡς ἕκαστός πη ἐδύνατο.
thence withdrew as each somehow could

26.20 Γόνθαρις δὲ κατὰ κράτος νενικηκὼς ξὺν τοῖς στασιώταις
Gontharis and by force having-conquered with the mutineers
τὸ Παλάτιον ἔσχε, καὶ τάς τε πύλας τόν τε λιμένα
the Palatium held and the both gates the both harbor
ἐνδελεχέστατα ἤδη ἐφύλαττε.
most-constantly now guarded

26.21 πρῶτα μὲν οὖν τὸν Ἀθανάσιον μετεπέμπετο, καὶ ὃς αὐτῷ
first indeed then — Athanasius he-summoned and he to-him
οὐδὲν μελλήσας ἦλθε.
nothing having-delayed came

26.22 θωπείᾳ τε πολλῇ χρώμενος δόκησιν παρείχετο ὡς
with-flattery both much using (an)-appearance he-gave that
αὐτὸν ὅτι μάλιστα ἡ πρᾶξις ἀρέσκοι.
him as most the deed pleased

ἔπειτα δὲ τὸν τῆς πόλεως ἱερέα πέμψας Ἀρεόβινδον 26.23
then and the of-the city priest having-sent Areobindus
ἐκέλευε τὰ πιστὰ λαβόντα ἐς Παλάτιον ἥκειν, ἀπειλήσας
he-ordered the pledges having-received to (the)-Palatium to-come having-threatened
πολιορκήσειν τε ἀπειθήσαντα καὶ μηκέτι αὐτῷ ὑπὲρ
to-besiege both disobeying and no-longer to-him for
τῆς σωτηρίας τὰ πιστὰ δώσειν, ἀλλὰ πάσῃ μηχανῇ
the safety the pledges to-give but by-every device
ἐξελὼν κτείνειν.
having-taken(-him) to-kill(-him)
ὁ μὲν οὖν ἱερεὺς Ῥεπάρατος ἰσχυρίζετο Γονθάριδος 26.24
the indeed then priest Reparatus insisted by-Gontharis'
γνώμῃ τῷ Ἀρεοβίνδῳ ὀμεῖσθαι, μηδὲν αὐτῷ ἄχαρι πρὸς
will — to-Areobindus to-swear nothing to-him unpleasant from
ἐκείνου ξυμβήσεσθαι, φράσας καὶ ὅσα μὴ πειθομένῳ
him to-happen having-told also as-much-as not obeying
τῷ ἀνθρώπῳ ἠπείλησε.
to-the man he-had-threatened
δείσας δὲ Ἀρεόβινδος ὡμολόγησεν αὐτίκα τῷ ἱερεῖ 26.25
having-feared and Areobindus agreed at-once the priest
ἕψεσθαι, ἢν τὸ θεῖον λουτρὸν ἱερουργήσας, ᾗπερ εἴθισται,
to-follow if the divine bath having-performed as is-customary
εἶτα πρὸς αὐτοῦ οἱ ἀπομοσάμενος ἀμφὶ τῇ σωτηρίᾳ
then by it to-him having-sworn about the safety
τὰ πιστὰ δοίη.
the pledges he-should-give
ὁ μὲν οὖν ἱερεὺς κατὰ ταῦτα ἐποίει. Ἀρεόβινδος δὲ 26.26
the indeed then priest according-to these(-things) did Areobindus and
οὐδέν τι μελλήσας αὐτῷ εἵπετο, ἱμάτιον ἀμπεχόμενος
nothing at-all having-delayed him followed (a)-garment wearing
οὔτε στρατηγῷ οὔτε ἄλλῳ στρατευομένῳ ἀνδρὶ ἐπιτηδείως
neither for-(a)-general nor for-other campaigning man suitable

ἔχον, ἀλλὰ δούλῳ ἢ ἰδιώτῃ παντάπασι πρέπον·
being but for-(a)-slave or for-(a)-private-man altogether fitting
κασοῦλαν αὐτὸ τῇ Λατίνων φωνῇ καλοῦσι Ῥωμαῖοι.
casula it in-the of-Latins tongue call Romans

26.27 ἐπειδή τε ἀγχοῦ τοῦ Παλατίου ἐγένοντο, τὰ θεῖα ἐν
when both near the Palatium they-were the divine in
χερσὶ λόγια παρὰ τοῦ ἱερέως λαβὼν τῷ Γονθάριδι ἐς
hands oracles from the priest having-taken — to-Gontharis into
ὄψιν ἦλθε.
sight he-came

26.28 πρηνής τε πεσὼν χρόνον πολὺν αὐτοῦ ἔκειτο, τὴν ἱκετηρίαν
prostrate both having-fallen time long there lay the supplication
αὐτῷ τά τε θεῖα λόγια προτεινόμενος καὶ τὸ παιδίον,
to-him the both divine oracles holding-out and the child
ὅπερ τοῦ θείου ἀξιωθὲν λουτροῦ ἔτυχεν, ἐφ' οὗ
which of-the divine having-been-deemed-worthy bath happened on which
οἱ τὴν πίστιν ὁ ἱερεύς, ὥσπερ μοι ἐρρήθη, παρέσχετο.
to-him the pledge the priest as by-me was-said had-given

26.29 ἐπεὶ δὲ αὐτὸν ἐξανέστησεν ὁ Γόνθαρις μόλις, πρὸς τῶν
when and him raised-up — Gontharis barely by the
ἱερῶν ἁπάντων ἀνεπυνθάνετο τοῦ Γονθάριδος, εἴ οἱ
holy(-things) all he-asked — of-Gontharis whether to-him
τὰ τῆς σωτηρίας ἐν ἀσφαλεῖ κεῖται.
the(-things) of-the safety in safety lie

26.30 καὶ ὃς θαρσεῖν αὐτὸν ἰσχυρότατα ἤδη ἐκέλευεν· οὐδὲν γὰρ
and he to-take-courage him most-strongly now ordered nothing for
ἄχαρι πρὸς αὐτοῦ πείσεσθαι, ἀλλὰ τῇ ὑστεραίᾳ ξύν τε
unpleasant from him to-suffer but on-the next-day with both
τῇ γυναικὶ καὶ τοῖς χρήμασιν ἐκ Καρχηδόνος οἰχήσεσθαι.
the wife and the money from Carthage to-depart

εἶτα τὸν ἱερέα Ῥεπάρατον ἀποπεμψάμενος, Ἀρεόβινδόν τε 26.31
then the priest Reparatus having-sent-away Areobindus both
καὶ Ἀθανάσιον δειπνεῖν ξὺν αὐτῷ ἐν Παλατίῳ ἐκέλευε.
and Athanasius to-dine with himself in (the)-Palatium ordered
καὶ δειπνοῦντα μὲν τὸν Ἀρεόβινδον ἐτίμα· πρῶτον γὰρ 26.32
and dining indeed — Areobindus he-honored first for
αὐτὸν ἐπὶ τῆς στιβάδος κατέκλινε· δειπνήσαντα δὲ οὐ
him on the couch he-placed having-dined but not
μεθῆκεν, ἀλλὰ καθεύδειν ἐν κοιτῶνι μόνον ἠνάγκαζεν· οὗ
he-let-go but to-sleep in (a)-bedroom alone compelled(-him) where
δὴ τὸν Οὐλίθεον ξὺν ἑτέροις τισὶν ἐπ᾽ αὐτὸν ἔπεμψεν.
indeed — Ulitheus with others some against him he-sent
οἵπερ αὐτὸν κωκύοντά τε καὶ ὀλολυγαῖς συχναῖς χρώμενον 26.33
who him wailing both and with-cries many using
πολλά τε πρὸς ἔλεον ἐπαγωγὰ φθεγγόμενον ἐς
many(-things) both to pity moving uttering toward
αὐτοὺς κτείνουσιν. Ἀθανασίου μέντοι ἐφείσαντο, τὸ γῆρας,
them kill Athanasius however they-spared the old-age
οἶμαι, τοῦ ἀνθρώπου ὑπεριδόντες.
I-think of-the man having-disregarded
Τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ τὴν μὲν Ἀρεοβίνδου κεφαλὴν 27.1
on-the and following day the indeed of-Areobindus head
παρὰ τὸν Ἀντάλαν ὁ Γόνθαρις ἔπεμψε, τὰ δὲ χρήματα
to — Antalas — Gontharis sent the but money
καὶ τοὺς στρατιώτας αὐτὸν ἀποστερεῖν ἔγνω.
and the soldiers him to-deprive decided
Ἀντάλας τοίνυν, ὅτι τέ οἱ τῶν ξυγκειμένων οὐδὲν 27.2
Antalas therefore because both to-him of-the(-things) agreed nothing
ἐπετέλει, δεινὰ ἐποιεῖτο, καὶ τά τε ὀμωμοσμένα
he-fulfilled terrible(-things) made(-of-it) and the(-things) both sworn

τά τε εἰργασμένα τῷ Γονθάριδι ἐς τὸν Ἀρεόβινδον
the(-things) both done — by-Gontharis to — Areobindus
ἐννοῶν ἤσχαλλεν.
considering was-vexed

27.3 οὐ γάρ οἱ ἐδόκει ὁ τοιούτους ὅρκους ἠδικηκὼς
not for to-him seemed the(-one) such oaths having-wronged
οὔτε αὐτῷ ποτε οὔτε ἄλλῳ ὁτῳοῦν πιστὸς ἔσεσθαι.
neither to-himself ever nor to-other anyone faithful to-be

27.4 πολλὰ γοῦν ἐν αὑτῷ λογισάμενος Ἰουστινιανῷ βασιλεῖ
much at-any-rate in himself having-reckoned to-Justinian emperor
προσχωρεῖν ἤθελε· διὸ δὴ ὀπίσω ἀπήλαυνε.
to-come-over he-wished wherefore indeed back he-rode

27.5 γνούς τε Μαρκέντιον, ὃς τῶν ἐν Βυζακίῳ καταλόγων
having-learned both Marcentius who of-the in Byzacium units
ἦρχεν, ἐς νῆσόν τινα τῶν ταύτῃ ἐπικειμένων καταφυγεῖν,
commanded to island some of-the there lying-off to-have-fled
πέμψας παρ᾽ αὐτόν, φράσας τε τὸν πάντα λόγον καὶ
having-sent to him having-told both the whole account and
τὰ πιστὰ δούς, τὸν ἄνθρωπον ἐπηγάγετο.
the pledges having-given the man brought-over

27.6 καὶ Μαρκέντιος μὲν ἔμενε ξὺν τῷ Ἀντάλᾳ ἐν τῷ
and Marcentius indeed remained with — Antalas in the
στρατοπέδῳ, στρατιῶται δέ, ὅσοι ἐν Βυζακίῳ διατριβὴν
camp soldiers and as-many-as in Byzacium (a)-stay
εἶχον, εὐνοϊκῶς βασιλεῖ ἔχοντες, Ἀδραμητὸν πόλιν
had well-disposed to-(the)-emperor being Hadrumetum (the)-city
ἐφύλασσον.
guarded

οἱ δὲ τοῦ Στότζα στρατιῶται, οὐχ ἧσσους ἢ χίλιοι 27.7
the and — of-Stotzas soldiers not fewer than thousand
ὄντες, αἰσθόμενοι τῶν ποιουμένων, Ἰωάννου σφίσιν
being having-perceived the(-things) being-done John them
ἡγουμένου, παρὰ τὸν Γόνθαριν ἐχώρησαν δρόμῳ.
leading to — Gontharis advanced at-a-run
καὶ ὃς αὐτοὺς ἀσμένως τῇ πόλει ἐδέξατο. ἦσαν δὲ 27.8
and he them gladly into-the city received were and
Ῥωμαῖοι μὲν πεντακόσιοι, Οὖννοι δὲ ὀγδοήκοντα μάλιστα,
Romans indeed five-hundred Huns and eighty about
οἱ δὲ λοιποὶ Βανδίλοι ἅπαντες.
the and remaining Vandals all
καὶ Ἀρταβάνης τὰ πιστὰ λαβὼν ἔς τε τὸ Παλάτιον 27.9
and Artabanes the pledges having-received to both the Palatium
ξὺν τοῖς Ἀρμενίοις ἀνέβη καὶ τῷ τυράννῳ ὑπηρετήσειν
with the Armenians went-up and to-the tyrant to-serve
ἐπιτάσσοντι ὡμολόγησε.
commanding agreed
λάθρα δὲ ἀνελεῖν τὸν Γόνθαριν ἐβουλεύετο, Γρηγορίῳ τε 27.10
secretly but to-kill — Gontharis he-planned with-Gregory both
τῷ ἀνεψιῷ καὶ Ἀρτασίρῃ τῷ δορυφόρῳ κοινολογησάμενος
the nephew and with-Artasires the guard having-shared
τὸ βούλευμα τοῦτο.
the plan this
Γρηγόριος δὲ αὐτὸν ἐς τὴν πρᾶξιν ἐνάγων ἔλεξε τοιάδε 27.11
Gregory and him to the deed urging spoke such(-things)
“ Ἀρταβάνη, νῦν σοι πάρεστι μόνῳ τὸ Βελισαρίου
Artabanes now for-you it-is-possible alone the of-Belisarius
ἀναδήσασθαι κλέος, μᾶλλον δὲ αὐτὸ καὶ πολλῷ ἔτι
to-bind-on glory rather and it also by-much still
ὑπερβαλέσθαι.
to-surpass

27.12 ὁ μὲν γὰρ στρατιὰν ἀξιολογωτάτην καὶ χρήματα μεγάλα
he indeed for army most-considerable and money great
παρὰ βασιλέως λαβὼν ἐνταῦθα ἦκεν, ἄρχοντας μὲν
from (the)-emperor having-received here came commanders indeed
ἔχων τούς οἱ ἑπομένους καὶ ξυμβούλους πολλούς, στόλον
having the him following and counselors many (a)-fleet
δὲ νηῶν οἷον οὔπω ἡμεῖς ἀκοῇ ἴσμεν, ἵππον τε πολλὴν
and of-ships such-as never we by-hearsay know horse both much
καὶ ὅπλα καὶ τὰ ἄλλα ἁπλῶς εἰπεῖν ἅπαντα ἐπαξίως
and arms and the other(-things) simply to-say all worthily
οἱ παρεσκευασμένα τῆς Ῥωμαίων ἀρχῆς.
to-him prepared of-the of-Romans empire

27.13 οὕτω τε πόνῳ πολλῷ ἀνεσώσατο Λιβύην Ῥωμαίοις.
so both with-toil much he-recovered Libya for-Romans

27.14 ἅπερ ἅπαντα οὕτως ἀπόλωλεν ὥστε, εἰ μηδὲ ἀρχὴν
which(-things) all so has-perished that if not-even at-all
ἐγεγόνει, ἔν γε τῷ παρόντι ἐν ἴσῳ εἶναι· πλήν γε
it-had-happened in at-least the present in equal(-state) to-be except at-least
δὴ ὅτι ἀποκέκριται Ῥωμαίοις τανῦν ἐκ τῆς Βελισαρίου
indeed that it-has-been-allotted to-Romans now from the of-Belisarius
νίκης τοῖς τε σώμασι καὶ τοῖς χρήμασιν ἐζημιῶσθαι, καὶ
victory in-the both bodies and in-the money to-have-been-damaged and
πρός γε τὸ μηδὲ φυλάξαι τἀγαθὰ δυνατοῖς γεγονέναι.
besides at-least the not-even to-guard the-goods able to-have-become

27.15 τὸ δὲ πάντα ταῦτα ἀνασώσασθαι τανῦν βασιλεῖ ἐν
the and all these(-things) to-recover now for-(the)-emperor in
τῇ σῇ μόνῃ ψυχῇ τε καὶ γνώμῃ καὶ δεξιᾷ κεῖται.
the your alone soul both and judgment and right-hand lies

οὐκοῦν ἐκλογίζου μὲν ὡς εἶ Ἀρσακίδης ἀνέκαθεν γένος, 27.16
therefore reckon indeed that you-are (an)-Arsacid from-of-old by-race
ἐνθυμοῦ δὲ ὡς τοῖς εὖ γεγονόσιν ἀνδραγαθίζεσθαι
consider and that to-the(-ones) well born to-be-brave
ἀεί τε καὶ πανταχῇ πρέπει.
always both and everywhere befits
πολλὰ γοῦν σοι ἔργα ὑπὲρ τῆς ἐλευθερίας θαυμαστὰ 27.17
many at-any-rate by-you deeds for the freedom wonderful
πέπρακται. Ἀκάκιον γάρ, νέος ὢν ἔτι, τὸν Ἀρμενίων
have-been-done Acacius for young being still the of-Armenians
ἄρχοντα, καὶ Σίτταν τὸν Ῥωμαίων στρατηγὸν ἔκτεινας,
ruler and Sittas the of-Romans general you-killed
καὶ ἀπ᾽ αὐτοῦ Χοσρόῃ βασιλεῖ γνώριμος γεγονὼς ξὺν
and from this to-Chosroes king known having-become with
αὐτῷ ἐπὶ Ῥωμαίους ἐστράτευσας.
him against Romans you-marched
ἐπεὶ δὲ τηλικόσδε εἶ, ὡς σὸν εἶναι μὴ περιορᾶν τὴν 27.18
since and so-great you-are that yours to-be not to-overlook the
Ῥωμαίων ἀρχὴν ὑπὸ κυνὶ μεθύοντι κεῖσθαι, ἐνδείκνυσο
of-Romans empire under (a)-dog drunk to-lie show
τανῦν ὡς εὐγενείᾳ τε καὶ ψυχῆς ἀρετῇ ἐκεῖνα, ὦ
now that by-noble-birth both and of-soul by-valor those(-things) O
᾽γαθέ, τὰ πρόσθεν εἰργάσω· ἐγὼ δέ σοι καὶ Ἀρτασίρης
good-man the before you-wrought I and to-you and Artasires
ὅδε ἅπαντα ἐπιτάττοντι ὅση δύναμις ὑπουργήσομεν.᾽᾽
here all(-things) commanding as-much-as power(-is-ours) will-serve
Γρηγόριος μὲν τοσαῦτα εἶπεν· Ἀρταβάνου δὲ τὴν διάνοιαν 27.19
Gregory indeed so-much said of-Artabanes and the mind
ἐπὶ τὸν τύραννον ἔτι μᾶλλον ὥρμησεν.
against the tyrant still more he-urged

27.20 Ὁ δὲ Γόνθαρις Ἀρεοβίνδου μὲν τήν τε γυναῖκα καὶ τὴν
— and Gontharis of-Areobindus indeed the both wife and the
ἀδελφὴν ἐκ τοῦ φρουρίου ἐξαγαγὼν ἐπί τινος οἰκίας
sister from the fortress having-brought-out at (a)-certain house
ἠνάγκασε μένειν, οὔτε τι ὑβρίσας λόγῳ ἢ ἔργῳ ὁτῳοῦν
compelled to-remain neither anything having-insulted by-word or by-deed any
ἐς αὐτὰς οὔτε τὰ ἐπιτήδεια ἐνδεεστέρως ἢ κατὰ τὴν
toward them nor the provisions more-scantily than according-to the
χρείαν ἐχούσας οὔτε τι ἄλλο βιασθείσας εἰπεῖν ἢ πρᾶξαι,
need having nor anything other forced to-say or to-do
πλήν γε δὴ ὅτι γράψαι πρὸς τὸν θεῖον ἡ Πρεϊέκτα
except at-least indeed that to-write to the uncle — Praeiecta
ἠνάγκαστο ὡς Γόνθαρις μὲν αὐτάς τε τιμῴη ἐς ἄγαν
had-been-compelled that Gontharis indeed them both honored to excess
καὶ καθαρὸς εἴη παντάπασι τοῦ τἀνδρὸς φόνου, Οὐλιθέῳ
and clean were altogether of-the husband's murder by-Ulitheus
δὲ τὸ κακὸν ἐργασθείη, Γονθάριδος οὐδαμῇ ἐπαινοῦντος.
but the evil was-wrought Gontharis in-no-way approving

27.21 ἔπρασσε δὲ ταῦτα ὁ Γόνθαρις Πασιφίλῳ ἀναπεισθείς,
did and these(-things) — Gontharis by-Pasiphilus having-been-persuaded
ἀνδρὶ γεγονότι μὲν τῶν ἐν Βυζακίῳ στασιωτῶν πρώτῳ,
(a)-man having-been indeed of-the in Byzacium mutineers first
ξυναραμένῳ δὲ αὐτῷ μάλιστα ἐς τὴν τῆς τυραννίδος
having-taken-part and with-him most in the of-the tyranny
ἐπίθεσιν.
attempt

27.22 ἰσχυρίζετο γὰρ ὁ Πασίφιλος, ἢν ταῦτα ποιοίη,
insisted for — Pasiphilus if these(-things) he-should-do
ξυνοικιεῖν τε αὐτῷ βασιλέα τὴν κόρην καὶ προῖκα
to-give-in-marriage both to-him (the)-emperor the girl and (a)-dowry
κατὰ τὸ ξυγγενὲς ἐπιδώσειν χρημάτων μεγάλων.
according-to the kinship to-give-besides of-money great

Ἀρταβάνην τε τῷ στρατῷ ἐξηγεῖσθαι ἐπί τε Ἀντάλαν 27.23
Artabanes both the army to-lead against both Antalas
καὶ Μαυρουσίους τοὺς ἐν Βυζακίῳ ἐκέλευε.
and Moors the in Byzacium he-ordered
Κουτζίνας γὰρ ἅτε τῷ Ἀντάλᾳ προσκεκρουκώς, ἀπέστη 27.24
Cutzinas for as — with-Antalas having-fallen-out revolted
τε αὐτοῦ ἐκ τοῦ ἐμφανοῦς καὶ Γονθάριδι προσεχώρησεν·
both from-him from the open and to-Gontharis came-over
ᾧ δὴ τόν τε παῖδα καὶ τὴν μητέρα ἐν ὁμήρων
to-whom indeed the both son and the mother in of-hostages
λόγῳ παρέσχετο.
account he-gave
τὸ μὲν οὖν στράτευμα ἡγουμένου Ἀρταβάνου εὐθὺς ἐπὶ 27.25
the indeed then army leading Artabanes at-once against
τὸν Ἀντάλαν ἐχώρει. ξυνῆν δὲ αὐτῷ καὶ Ἰωάννης, ὁ τῶν
— Antalas advanced was-with and him also John the of-the
Στότζα στασιωτῶν ἄρχων, καὶ Οὐλίθεος ὁ δορυφόρος.
of-Stotzas mutineers commander and Ulitheus the guard
εἵποντο δὲ καὶ Μαυρούσιοι, ὧν Κουτζίνας ἦρχε.
followed and also Moors whom Cutzinas led
πόλιν τε Ἀδραμητὸν διαμείψαντες καταλαμβάνουσι τοὺς 27.26
(the)-city both Hadrumetum having-passed they-overtake the
ἐναντίους ἐνταῦθά πη ὄντας, καὶ στρατοπεδευσάμενοι
opponents there somewhere being and having-encamped
ὀλίγῳ ἄποθεν τῶν πολεμίων ηὐλίσαντο.
(a)-little away-from the enemies bivouacked
τῇ δὲ ὑστεραίᾳ Ἰωάννης μὲν καὶ Οὐλίθεος, μοῖράν τινα 27.27
on-the and next-day John indeed and Ulitheus part some
τοῦ στρατοῦ ἔχοντες, αὐτοῦ ἔμειναν, Ἀρταβάνης δὲ καὶ
of-the army having there remained Artabanes and and
Κουτζίνας ἐπῆγον ἐπὶ τοὺς ἐναντίους τὸ στράτευμα.
Cutzinas led against the opponents the army

27.28 οὓς δὴ οὐ ξυνενεγκόντες οἱ ξὺν τῷ Ἀντάλᾳ Μαυρούσιοι
whom indeed not having-withstood the with — Antalas Moors
ἐς φυγὴν ὥρμηντο.
to flight rushed

27.29 ἀλλ᾽ ἐθελοκακήσας Ἀρταβάνης ἐκ τοῦ αἰφνιδίου
but having-willfully-played-the-coward Artabanes from the sudden
στρέψας τε τὸ σημεῖον ὀπίσω ἀπήλαυνε.
having-turned both the standard back rode

27.30 διὸ δὴ Οὐλίθεος αὐτὸν ἐς τὸ στρατόπεδον ἥκοντα
wherefore indeed Ulitheus him to the camp coming
κτείνειν διενοεῖτο.
to-kill intended

27.31 παραιτούμενος δὲ Ἀρταβάνης ἔφασκε δεῖσαι μὴ
excusing-himself and Artabanes said to-have-feared lest
Μαρκέντιος ἐξ Ἀδραμητοῦ πόλεως ἐπιβοηθήσας τοῖς
Marcentius from Hadrumetum city having-come-to-help the
ἐναντίοις, ὅπη ἐνταῦθα ἐτύγχανεν ὤν, ἀνήκεστα σφᾶς
opponents where there be-happened being irreparable them
ἔργα ἐργάσηται·
deeds should-work

27.32 ἀλλὰ Γόνθαριν χρῆναι παντὶ τῷ στρατῷ ἐπὶ τοὺς
but Gontharis (it-was)-necessary with-all the army against the
πολεμίους ἰέναι.
enemies to-go

27.33 καὶ τὰ μὲν πρῶτα ἐβουλεύετο ἐς Ἀδραμητὸν ἰὼν ξὺν
and the indeed first he-planned to Hadrumetum going with
τοῖς ἑπομένοις τῷ βασιλέως στρατῷ ἀναμίγνυσθαι.
the(-ones) following with-the of-(the)-emperor army to-join

ἄμεινον δέ οἱ πολλὰ διαλογισαμένῳ ἔδοξεν εἶναι 27.34
better but to-him much having-reckoned it-seemed to-be
Γόνθαριν ἐξ ἀνθρώπων ἀφανίσαντι βασιλέα τε καὶ
Gontharis from men having-made-vanish (the)-emperor both and
Λιβύην πραγμάτων ἀπαλλάξαι δυσκόλων.
Libya from-troubles to-rid difficult
ἀναστρέψας οὖν ἐς Καρχηδόνα τῷ τυράννῳ ἀπήγγελλεν 27.35
having-returned then to Carthage to-the tyrant he-reported
ὅτι δὴ στρατεύματος αὐτῷ πλείονος ἐπὶ τοὺς πολεμίους
that indeed of-army to-him greater against the enemies
δεήσει.
there-will-be-need
ὁ δὲ Πασιφίλῳ κοινολογησάμενος ἅπαντα μὲν ἐξοπλίσαι 27.36
he and with-Pasiphilus having-conferred all indeed to-arm
τὸν στρατὸν ἤθελεν, αὐτὸς δὲ φυλακὴν ἐν Καρχηδόνι
the army wished himself and (a)-guard in Carthage
καταστησάμενος ἐπὶ τοὺς πολεμίους τῷ στρατῷ
having-set-up against the enemies the army
ἐξηγήσασθαι.
to-lead
πολλοὺς μὲν οὖν ἐς ἡμέραν ἑκάστην ἀνῄρει, ἐς οὓς 27.37
many indeed then for day each he-destroyed on whom
ὑποψίᾳ τινὶ καὶ λόγου οὐκ ἐχούσῃ ἐχρῆτο.
suspicion some and reason not having he-used
τῷ δὲ Πασιφίλῳ ἐπέστελλεν, ὃν δὴ καταστήσεσθαι 27.38
— and to-Pasiphilus he-sent-word whom indeed to-set
ἐπὶ Καρχηδόνος φυλακῇ ἔμελλε, τοὺς Γραικοὺς ἅπαντας
over of-Carthage for-(the)-guard was-about the Greeks all
οὐδὲν ὑπολογισαμένῳ κτεῖναι.
nothing having-considered to-kill

At a banquet Artasires, his left arm bound with split arrows, strikes Gontharis, and Artabanes runs him through; the Armenians kill the Vandals, and the guards acclaim Justinian. Artabanes, honored, is recalled. John, brother of Pappus, defeats Antalas, loses to the Leuathae, then routs them with Cutzinas, and the few Libyans left barely find a late peace.

28.1 Τά τε ἄλλα διοικησάμενος, ὅπη οἱ ἐδόκει ὡς
the(-things) both other having-arranged as to-him it-seemed as
ἄριστα ἔχειν, τοὺς ἐπιτηδείους ἑστιᾶν ἔγνω, ὡς ἡμέρᾳ
best to-be the intimates to-entertain he-decided as on-day
τῇ ἐπιούσῃ τὴν ἔξοδον ποιησόμενος.
the following the sally about-to-make

28.2 ἔν τε οἰκήματι, οὗ δὴ στιβάδες ἐν παρασκευῇ ἦσαν
in both (a)-room where indeed couches in readiness were
ἐκ παλαιοῦ τρεῖς, τὴν θοίνην ἐποίει.
from of-old three the banquet he-made

28.3 αὐτὸς μὲν οὖν ἐπὶ στιβάδος κατεκλίνετο, ὡς τὸ εἰκός, τῆς
himself indeed then on couch reclined as the likely the
πρώτης, ἔνθα δὴ καὶ Ἀθανάσιός τε καὶ Ἀρταβάνης ἦσαν,
first where indeed also Athanasius both and Artabanes were
τῶν τε Γονθάριδι γνωρίμων τινές, καὶ Πέτρος Θρᾷξ
of-the both to-Gontharis known(-men) some and Peter (a)-Thracian
μὲν γένος, δορυφόρος δὲ Σολόμωνος γενόμενος πρότερον.
indeed by-race guard and of-Solomon having-been before

28.4 ἐν ἀμφοτέραις δὲ ταῖς ἄλλαις στιβάσι Βανδίλων οἱ
on both and the other couches of-Vandals the
πρῶτοί τε καὶ ἄριστοι ἦσαν.
first both and best were

Ἰωάννην μέντοι, ὃς τῶν Στότζα στασιωτῶν ἦρχε, 28.5
John however who of-the Stotzas mutineers commanded
Πασίφιλος ἰδίᾳ εἱστία, καὶ τῶν ἄλλων ἕκαστον, ὅπη
Pasiphilus privately entertained and of-the others each as
ἑκάστῳ τῶν Γονθάριδι ἐπιτηδείων φίλον ἔδοξεν εἶναι.
to-each of-the to-Gontharis intimates dear seemed to-be
Ἀρταβάνης τοίνυν ἡνίκα ἐπὶ ταύτην δὴ τὴν θοίνην 28.6
Artabanes therefore when to this indeed the banquet
ἐκαλεῖτο, τοῦτόν οἱ τὸν καιρὸν ἐπιτηδείως ἔχειν ἐς τὸν τοῦ
was-invited this to-him the occasion suitably to-be for the of-the
τυράννου φόνον οἰόμενος, τὸ βούλευμα ἐπιτελεῖν διενοεῖτο.
tyrant murder thinking the plan to-accomplish intended
ἐς Γρηγόριον οὖν καὶ Ἀρτασίρην καὶ δορυφόρους ἑτέρους 28.7
to Gregory then and Artasires and guards other
τρεῖς τὸ πρᾶγμα ἐξενεγκὼν τοὺς μὲν δορυφόρους ξὺν
three the matter having-divulged the indeed guards with
τοῖς ξίφεσιν ἐκέλευσεν εἴσω γενέσθαι· (ἀρχόντων γὰρ
the swords ordered inside to-be (the)-commanders for
ἑστιωμένων ὄπισθεν ἑστάναι τοὺς δορυφόρους νόμος)
being-entertained behind to-stand the guards (is-the)-custom
εἴσω δὲ γενομένους ἐγχειρεῖν ἄφνω, ἡνίκα ἂν σφίσι
inside and having-come to-attack suddenly when — to-them
δοκῇ ὁ καιρὸς ὡς μάλιστα ἐπιτηδείως ἔχειν, πρῶτόν
should-seem the occasion as most suitably to-be first
τε τὸν Ἀρτασίρην ἔργου ἔχεσθαι.
both — Artasires (the)-deed to-take-in-hand
τῷ δὲ Γρηγορίῳ ἐπέστελλε τῶν Ἀρμενίων πολλοὺς τοὺς 28.8
— and to-Gregory he-instructed of-the Armenians many the
μάλιστα εὐτολμοτάτους ἀπολεξαμένῳ ἐς τὸ Παλάτιον
most most-daring having-picked-out into the Palatium
ἐπαγαγέσθαι, τὰ ξίφη μόνα ἐν χερσὶ φέροντας· (ἄλλῳ γὰρ
to-bring the swords alone in hands carrying with-other for

οὐδενὶ τοὺς τοῖς ἄρχουσιν ἐν πόλει ἑπομένους ὁπλίζεσθαι
no the(-ones) the commanders in (the)-city following to-be-armed
θέμις) τούτους τε ἐν τῷ προστώῳ ἀπολιπόντι εἴσω ξὺν
(is)-lawful these both in the porch having-left inside with
τοῖς δορυφόροις γενέσθαι, καὶ αὐτῶν τὸ μὲν βούλευμα
the guards to-be and of-them the indeed plan
μηδενὶ ἐξειπεῖν, τοσοῦτον δὲ εἰπεῖν μόνον, ὡς ἐς τὸν
to-no-one to-divulge so-much but to-say only that toward —
Γόνθαριν ὑπόπτως ἔχοι, ἐπὶ πονηρῷ τῷ Ἀρταβάνους ἐς
Gontharis suspiciously he-was for evil the of-Artabanes to
τὴν θοίνην αὐτὸν κεκληκέναι·
the banquet him to-have-invited

28.9 βούλεσθαι τοίνυν ἑστάναι μὲν αὐτοὺς παρὰ τοὺς
to-wish therefore to-stand indeed them beside the
Γονθάριδος φύλακας, οἵπερ ἐνταῦθα ἐπὶ φυλακῇ ἐτετάχατο,
of-Gontharis guards who there on guard had-been-posted
τοῦ δὲ παίζειν δόκησίν τινα παρεχομένους τῶν μὲν
of-the and to-play appearance some giving the indeed
ἀσπίδων, ἅσπερ ἐκεῖνοι φέρουσιν, ἅπτεσθαι, πάλλοντας δὲ
shields which they carry to-touch shaking and
αὐτὰς καὶ ἄλλως κινοῦντας ἄνω κάτω ἐς ἀεὶ στρέφειν·
them and otherwise moving up down for always to-turn
θορύβου δὲ ἢ κραυγῆς ἐντὸς γενομένης ἀραμένους τὰς
uproar and or shout inside having-arisen having-taken-up the
ἀσπίδας αὐτὰς βοηθεῖν δρόμῳ.
shields themselves to-help at-a-run

28.10 Ἀρταβάνης μὲν ταῦτα ἐπήγγελλεν, ὁ δὲ Γρηγόριος
Artabanes indeed these(-things) enjoined — and Gregory
ἐπιτελῆ ἐποίει. ὅ τε Ἀρτασίρης ἐπενόει τάδε· τῶν
accomplished made(-them) — both Artasires devised these(-things) of-the
βελῶν τινα διελὼν δίχα τῷ καρπῷ τῆς εὐωνύμου χειρὸς
arrows some having-split in-two on-the wrist of-the left hand

ἐπέθετο κατὰ τὰς τομὰς μέχρι ἐς τὸν ἀγκῶνα. ἱμᾶσί
he-placed along the cuts as-far-as to the elbow with-thongs
τε αὐτὰ ἐς τὸ ἀκριβὲς σφίγξας ὕπερθε τὸ ταύτῃ τοῦ
both them to the exact having-bound above the there of-the
χιτωνίσκου μέρος ἐπέβαλλεν.
tunic part he-put-over
ἐποίει δὲ ταῦτα, ὅπως, ἤν τις αὐτῷ τὸ ξίφος 28.11
he-did and these(-things) so-that if anyone at-him the sword
ἐπανατεινάμενος ἐγχειρῇ παίειν, μηδὲν αὐτῷ δεινὸν
having-raised should-attempt to-strike nothing to-him terrible
πεπονθέναι ξυμβαίη, προβεβλημένῳ μὲν τὴν λαιὰν χεῖρα,
to-have-suffered should-happen holding-before indeed the left hand
τοῦ δὲ σιδήρου ἀποκαυλιζομένου ἐν τῇ ἐς τὸ ξύλον
the and iron being-broken-off in the against the wood
ἐπιφορᾷ καὶ τοῦ σώματος ἅψασθαι οὐδαμῇ ἔχοντος.
blow and the body to-touch in-no-way being-able
τοιαύτῃ μὲν γνώμῃ Ἀρτασίρης, ὥσπερ μοι ἐρρήθη, ἐποίει.
with-such indeed purpose Artasires as by-me was-said acted
τῷ δὲ Ἀρταβάνῃ ἔλεξεν ὧδε “Ἐγὼ τὸ μὲν ἐγχείρημα 28.12
— and to-Artabanes he-spoke thus I the indeed attempt
ὀκνήσει οὐδεμιᾷ ὑποστήσεσθαι καὶ ξίφει τῷδε τοῦ
with-hesitation no will-undertake and with-sword this the
Γονθάριδος σώματος ψαύσειν ἐλπίδα ἔχω, τὸ δὲ ἐνθένδε
of-Gontharis body to-touch hope I-have the but thence
οὐκ ἔχω εἰπεῖν, πότερα ὁ θεὸς τῷ τυράννῳ χαλεπῶς
not I-am-able to-say whether — God with-the tyrant angry
ἔχων ξυγκατεργάσεταί μοι τὸ τόλμημα τοῦτο, ἤ τινα ἐμὴν
being will-help-accomplish for-me the daring-deed this or some my
ἁμαρτάδα τιννύμενος ἐνταῦθά τε ἀπαντήσας ἐμπόδιος εἴη.
offense punishing there both meeting(-me) (a)-hindrance might-be

28.13 ἦν τοίνυν οὐκ ἐν καιρίῳ πληγέντα τὸν τύραννον ἴδῃς,
if therefore not in mortal(-part) struck the tyrant you-see
σὺ δή με τῷ ξίφει τῷ ἐμῷ μηδέν τι μελλήσας
you indeed me with-the sword the my nothing at-all having-delayed
ἀπόκτεινον, ὅπως μὴ πρὸς αὐτοῦ αἰκιζόμενος γνώμῃ τε τῇ
kill so-that not by him being-tortured by-intent both the
σῇ ἐς τὴν πρᾶξιν ὡρμηκέναι εἰπὼν αἴσχιστά τε αὐτὸς
your to the deed to-have-set-out having-said most-shamefully both myself
διαφθαρείην καί σε προσαπολεῖν ἀναγκασθείην ἀκούσιος."
I-might-perish and you to-destroy-as-well I-might-be-compelled unwilling
28.14 τοσαῦτα καὶ Ἀρτασίρης εἰπὼν ξύν τε Γρηγορίῳ καὶ
so-much also Artasires having-said with both Gregory and
τῶν δορυφόρων ἑνὶ παρὰ τὰς στιβάδας ἐλθὼν ὄπισθεν
of-the guards one to the couches having-gone behind
Ἀρταβάνου ἑστήκει. οἱ δὲ λοιποὶ παρὰ τοὺς φύλακας
Artabanes stood the and remaining beside the guards
μένοντες τὰ σφίσιν ἐπηγγελμένα ἐποίουν.
remaining the(-things) to-them enjoined did
28.15 Ὁ μὲν οὖν Ἀρτασίρης, ἀρξαμένης που τῆς θοίνης,
— indeed then Artasires having-begun somewhat the banquet
ἔργου ἔχεσθαι διενοεῖτο, ἤδη τε τῆς τοῦ ἀκινάκου
(the)-deed to-take-in-hand intended already both of-the of-the dagger
λαβῆς ἥπτετο.
hilt touched
28.16 ἀλλ' αὐτὸν ὁ Γρηγόριος διεκώλυσεν ἔτι τὸν Γόνθαριν
but him — Gregory prevented still — Gontharis
ὅλον εἰπὼν τῇ Ἀρμενίων φωνῇ ἐν αὑτῷ εἶναι, οὔπω
whole having-said in-the of-Armenians tongue in himself to-be not-yet
ἐκπεπωκότα τοῦ οἴνου τι μέγα.
having-drunk of-the wine anything great

ἀνοιμώξας τοίνυν Ἀρτασίρης, “ὦ ἄνθρωπε,” εἶπεν, 28.17
having-groaned therefore Artasires O fellow he-said
“ὡς καλὴν ἔχοντά με ψυχὴν οὐ δέον ἐν τῷ παρόντι
how fine having me spirit not fitting in the present
κεκώλυκας.”
you-have-hindered
προϊόντος δὲ τοῦ πότου, ἤδη που καταβεβρεγμένος ὁ 28.18
advancing and the drinking already somewhat drenched —
Γόνθαρις τοῖς δορυφόροις τῶν βρώσεων ἐδίδου, φιλοτιμίᾳ
Gontharis to-the guards of-the foods gave with-generosity
τινὶ χρώμενος.
some using
οἳ δὴ ταύτας λαβόντες ἐσθίειν ἤδη τοῦ οἰκήματος 28.19
who indeed these having-taken to-eat already the room
ἔξω γενόμενοι ἔμελλον, μόνων ἀπολελειμμένων παρὰ τὸν
outside having-got were-about only having-been-left beside —
Γόνθαριν δορυφόρων τριῶν, ὧνπερ Οὐλίθεος εἷς ἐτύγχανεν
Gontharis guards three of-whom Ulitheus one happened
ὤν.
being
ἐξήει δὲ καὶ Ἀρτασίρης, ὡς τῶν βρώσεων ξὺν τοῖς 28.20
went-out and also Artasires as of-the foods with the
ἑτέροις γευσόμενος.
others about-to-taste
ἐνταῦθά τις αὐτῷ γέγονεν ἔννοια μή τί οἱ σπάσασθαι 28.21
there some to-him came thought lest anything to-him to-draw
βουλομένῳ τὸν ἀκινάκην ἐμπόδιον εἴη.
wishing the dagger (a)-hindrance should-be
ἔξω τοίνυν γενόμενος ἔρριψε μὲν λάθρα τοῦ ξίφους τὴν 28.22
outside therefore having-got he-threw indeed secretly of-the sword the
θήκην, γυμνόν τε αὐτὸ ὑπὸ μάλης λαβὼν πρὸς τῆς
sheath bare both it under armpit having-taken by the

ἐπωμίδος κεκαλυμμένον παρὰ τὸν Γόνθαριν ἐσεπήδησεν,
shoulder-cloak covered to — Gontharis leapt-in
ὡς κρύφα τι τῶν ἄλλων ἐρῶν.
as secretly something from-the others about-to-say
28.23 ὅπερ Ἀρταβάνης ἰδὼν τῷ τε θυμῷ ζέων καὶ τῇ
which Artabanes having-seen with-the both anger seething and by-the
τῆς ἀγωνίας ὑπερβολῇ ἐς βαθεῖάν τινα ἐμπεσὼν μέριμναν,
of-the anxiety excess into deep some having-fallen care
κινεῖν τε τὴν κεφαλὴν ἤρξατο καὶ πολλὰς ἀμείβειν
to-move both the head began and many to-change
τοῦ προσώπου χρόας, ἔνθους τέ τις τῷ μεγέθει τῆς
of-the face colors possessed both someone by-the greatness of-the
πράξεως γεγενῆσθαι παντελῶς ἔδοξεν.
deed to-have-become wholly he-seemed
28.24 ὅπερ ὁ Πέτρος ἰδὼν ξυνῆκε τὸ ποιούμενον, οὐ
which — Peter having-seen understood the(-thing) being-done not
μέντοι ἐξήνεγκεν ἐς τῶν ἄλλων τινά, ἐπεὶ αὐτὸν βασιλεῖ
however divulged to of-the others any since him to-(the)-emperor
εὐνοϊκῶς ἔχοντα λίαν ἥρεσκε τὰ πρασσόμενα.
well-disposed being greatly pleased the(-things) being-done
28.25 τὸν δὲ Ἀρτασίρην, ἄγχιστά πη τοῦ τυράννου ἐλθόντα,
— and Artasires nearest somewhere to-the tyrant having-come
τῶν τις οἰκετῶν ὦσε, μικρόν τε ὄπισθεν ἀποκεχωρηκότος
of-the one servants pushed (a)-little both back he-having-withdrawn
κατενόησε τὸ ξίφος γυμνὸν ἀνέκραγέ τε, "τί τοῦτο,
noticed the sword bare cried-out both what (is)-this
βέλτιστε";
best-of-men

λέγων. ὁ μὲν οὖν Γόνθαρις παρὰ τῶν ὤτων τὸ δεξιὸν 28.26
saying — indeed then Gontharis at the ears the right
τὴν χεῖρα ἐπιβαλὼν στρέψας τε τὸ πρόσωπον ἐς
the hand having-put having-turned both the face toward
αὐτὸν ἔβλεπεν.
him looked
Ἀρτασίρης δὲ αὐτὸν τῷ ξίφει μεταξὺ ἔπαισε καὶ τοῦ 28.27
Artasires and him with-the sword meanwhile struck and of-the
βρέγματος μοῖράν τινα ξὺν τοῖς δακτύλοις ἀπέκοψε.
forehead part some with the fingers cut-off
Πέτρος δὲ ἀναβοήσας ἐνεκελεύετο τῷ Ἀρτασίρῃ τὸν 28.28
Peter and having-shouted urged — to-Artasires the
ἀνοσιώτατον κτείνειν ἀνθρώπων ἁπάντων.
most-impious to-kill of-men all
ἀναθρώσκοντα δὲ Γόνθαριν Ἀρταβάνης ἰδὼν (ἐγγύθι 28.29
leaping-up and Gontharis Artabanes having-seen near
γὰρ κατεκλίνετο) μάχαιραν ἀμφήκη σπασάμενος, ᾗ οἱ
for he-reclined (a)-sword double-edged having-drawn which to-him
παρὰ τὸν μηρὸν ἀπεκρέματο μεγάλη τις οὖσα, ἐς τὴν
by the thigh hung great some being into the
ἀριστερὰν τοῦ τυράννου πλευρὰν ἄχρι ἐς τὴν λαβὴν
left of-the tyrant side as-far-as to the hilt
ξύμπασαν ὥσας ἐνταῦθα μεθῆκε.
whole having-thrust there let-go
καὶ ὃς οὐδέν τι ἧσσον ἀναθορεῖν ἐπεχείρησεν, ἅτε δὲ 28.30
and he nothing at-all less to-leap-up attempted as but
καιρίαν λαβὼν αὐτοῦ ἔπεσεν.
(a)-mortal(-wound) having-received there fell
ὁ μὲν οὖν Οὐλίθεος τῷ Ἀρτασίρῃ τὸ ξίφος ὡς κατὰ 28.31
— indeed then Ulitheus — at-Artasires the sword as on
κόρρης πατάξων ἐπήνεγκεν· ὁ δὲ τῆς κεφαλῆς χεῖρα
(the)-cheek about-to-strike brought-down he and of-the head (the)-hand

τὴν ἀριστερὰν προβαλλόμενος τῆς ἐννοίας τῆς αὑτοῦ ἐν
the left holding-before of-the purpose the his-own in
τοῖς ἀναγκαιοτάτοις ἀπώνατο.
the most-necessary(-things) had-the-benefit

28.32 τοῦ ξίφους γάρ οἱ τὴν ἀκμὴν ἀποθεμένου ἐν ταῖς ἐπὶ
the sword for to-him the edge having-lodged in the on
τῆς χειρὸς τῶν βελῶν ἐκτομαῖς, αὐτὸς ἀπαθὴς γεγονώς,
the hand of-the arrows cuts himself unharmed having-become
ἔκτεινε τὸν Οὐλίθεον οὐδενὶ πόνῳ.
killed — Ulitheus with-no toil

28.33 Πέτρος δὲ καὶ Ἀρταβάνης, ὁ μὲν τὸ Γονθάριδος
Peter and and Artabanes the-one indeed the of-Gontharis
ξίφος, ὁ δὲ τὸ τοῦ Οὐλιθέου πεπτωκότος ἁρπάσας,
sword the-other and the — of-Ulitheus fallen having-snatched
τῶν δορυφόρων τοὺς λειπομένους αὐτοῦ ἔκτειναν.
of-the guards the remaining there killed

28.34 γέγονε τοίνυν, ὡς τὸ εἰκός, κραυγῆς τε καὶ ταραχῆς μέγα
arose therefore as the likely of-shouting both and of-confusion great
τι χρῆμα. αἰσθόμενοί τε ταύτης ὅσοι τῶν Ἀρμενίων
some amount having-perceived both it as-many-as of-the Armenians
παρὰ τοὺς τοῦ τυράννου φύλακας ἵσταντο, τὰς ἀσπίδας
by the of-the tyrant guards stood the shields
εὐθὺς ἀνελόμενοι κατὰ τὰ σφίσι ξυγκείμενα ἐπὶ
at-once having-taken-up according-to the(-things) by-them agreed to
τὰς στιβάδας ἐχώρουν δρόμῳ, καὶ τούς τε Βανδίλους
the couches advanced at-a-run and the both Vandals
ξύμπαντας τούς τε Γονθάριδι ἐπιτηδείους ἀνεῖλον, οὐδενὸς
all the both to-Gontharis intimates destroyed no-one
σφίσιν ἀντιστατοῦντος.
to-them opposing

τότε Ἀρταβάνης τὸν Ἀθανάσιον ἐμαρτύρατο ἐπιμελεῖσθαι 28.35
then Artabanes — Athanasius charged to-take-care-of
τῶν ἐν Παλατίῳ χρημάτων. ὅσα γὰρ Ἀρεοβίνδῳ
the in (the)-Palatium money as-much-as for to-Areobindus
ἐλέλειπτο ἐνταῦθα εἶναι.
had-been-left there to-be
ἐπεὶ δὲ οἱ φύλακες τὴν Γονθάριδος τελευτὴν ἔμαθον, 28.36
when and the guards the of-Gontharis end learned
ξυνετάσσοντο τοῖς Ἀρμενίοις αὐτίκα πολλοί. τῆς γὰρ
were-ranged-with the Armenians at-once many of-the for
Ἀρεοβίνδου οἰκίας οἱ πλεῖστοι ἦσαν. ξυμφρονήσαντες
of-Areobindus household the most were having-agreed
τοίνυν Ἰουστινιανὸν ἀνεβόων καλλίνικον.
therefore Justinian they-shouted glorious-in-victory
ἥ τε φωνὴ προϊοῦσα μὲν ἐκ πλήθους ἀνθρώπων, 28.37
the both voice proceeding indeed from (a)-multitude of-men
ἐξαισία δὲ ὑπερφυῶς οὖσα ἐς πόλιν ἐξικνεῖσθαι τὴν
extraordinary and exceedingly being to (the)-city to-reach the
πολλὴν ἴσχυσεν.
great was-able
ἐνθένδε οἱ τῷ βασιλεῖ εὐνοϊκῶς ἔχοντες ἐσπηδήσαντες 28.38
thence the(-ones) to-the emperor well-disposed being having-burst
ἐς τῶν στασιωτῶν τὰς οἰκίας τοὺς μὲν ὕπνον
into of-the mutineers the houses the(-ones) indeed sleep
αἱρουμένους, τοὺς δὲ σιτία, ἐνίους δὲ θαμβήσαντάς τε
taking the(-ones) and food some and having-been-amazed both
τῷ δέει καὶ ἀπορίᾳ δεινῇ ἐχομένους εὐθὺς ἔκτειναν.
by-the fear and by-perplexity terrible held at-once killed
ἐν τοῖς καὶ Πασίφιλος ἦν. Ἰωάννης γὰρ ξὺν Βανδίλων 28.39
among whom also Pasiphilus was John for with of-Vandals
τισὶν ἐς τὸ ἱερὸν καταφεύγει.
some to the sanctuary flees

28.40 οἷς δὴ Ἀρταβάνης τὰ πιστὰ παρασχόμενος ἔνθεν
to-whom indeed Artabanes the pledges having-given thence
τε ἐξαναστήσας ἐς Βυζάντιον ἔπεμψε καὶ τὴν πόλιν
both having-raised-up to Byzantium sent and the city
βασιλεῖ ἀνασωσάμενος διεφύλαξε.
for-(the)-emperor having-recovered kept-safe

28.41 γέγονε δὲ ὁ τοῦ τυράννου φόνος ἕκτῃ καὶ τριακοστῇ
happened and the of-the tyrant murder on-(the)-sixth and thirtieth
ἀπὸ τῆς τυραννίδος ἡμέρᾳ, ἔνατον καὶ δέκατον ἔτος
from the tyranny day (the)-ninth and tenth year
Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος.
Justinian emperor the autocratic rule holding

28.42 Ἀρταβάνης τε ἐκ τοῦ ἔργου τούτου κλέος περιεβάλετο
Artabanes both from the deed this glory put-on
μέγα ἐς πάντας ἀνθρώπους.
great among all men

28.43 καὶ Πρεϊέκτα μὲν εὐθὺς ἡ Ἀρεοβίνδου γυνὴ μεγάλοις
and Praeiecta indeed at-once the of-Areobindus wife with-great
αὐτὸν ἐδωρήσατο χρήμασι, βασιλεὺς δὲ στρατηγὸν αὐτὸν
him presented money (the)-emperor and general him
κατεστήσατο Λιβύης ἁπάσης.
appointed of-Libya all

28.44 οὐ πολλῷ δὲ ὕστερον Ἀρταβάνης μὲν ἔχρῃζε βασιλέως
not much and later Artabanes indeed begged (the)-emperor
ὅπως αὐτὸν ἐς Βυζάντιον μεταπέμποιτο, βασιλεὺς δὲ τὴν
that him to Byzantium he-should-recall (the)-emperor and the
δέησιν ἐπιτελῆ ἐποιεῖτο.
request accomplished made

28.45 καὶ τὸν Ἀρταβάνην μεταπεμψάμενος, Ἰωάννην τὸν Πάππου
and — Artabanes having-recalled John the of-Pappus
ἀδελφὸν Λιβύης στρατηγὸν μόνον αὐτὸν κατεστήσατο.
brother of-Libya general sole him appointed

οὗτος Ἰωάννης ἐπεὶ τάχιστα ἐν Λιβύῃ ἐγένετο, Ἀντάλᾳ τε 28.46
this John when quickest in Libya he-was with-Antalas both
καὶ Μαυρουσίοις τοῖς ἐν Βυζακίῳ ἐς χεῖρας ἐλθὼν καὶ
and with-Moors the in Byzacium into hands having-come and
μάχῃ νικήσας τῶν τε πολεμίων πολλοὺς ἔκτεινε καὶ
in-battle having-conquered of-the both enemies many killed and
σημεῖα πάντα τὰ Σολόμωνος τούτους δὴ τοὺς βαρβάρους
standards all the of-Solomon these indeed the barbarians
ἀφελόμενος βασιλεῖ ἔπεμψεν, ἅπερ αὐτοὶ λησάμενοι
having-taken-from to-(the)-emperor sent which they having-plundered
ἔτυχον ἡνίκα Σολόμων ἐξ ἀνθρώπων ἠφάνιστο. τοὺς δὲ
happened when Solomon from men had-vanished the and
λοιποὺς ὡς ἀπωτάτω ἐξήλασε τῆς Ῥωμαίων ἀρχῆς.
others as farthest drove-out of-the of-Romans empire
χρόνῳ δὲ ὕστερον οἱ Λευάθαι αὖθις στρατῷ μεγάλῳ 28.47
in-time and later the Leuathae again with-army great
ἐκ τῶν ἐπὶ Τριπόλεως χωρίων ἐς Βυζάκιον ἀφικόμενοι
from the at Tripolis places to Byzacium having-come
τοῖς ἀμφὶ τὸν Ἀντάλαν ξυνέμιξαν.
with-the(-ones) about — Antalas joined
οἵσπερ Ἰωάννης ὑπαντιάσας ἡσσηθείς τε τῇ ξυμβολῇ 28.48
whom John having-met having-been-defeated both in-the engagement
καὶ πολλοὺς τῶν οἱ ἑπομένων ἀποβαλὼν ἐς Λαρίβους
and many of-the him following having-lost to Laribus
φεύγει.
flees
καὶ τότε δὴ οἱ πολέμιοι μέχρι ἐς Καρχηδόνα ξύμπαντα 28.49
and then indeed the enemies as-far-as to Carthage all
καταθέοντες τὰ ἐκείνῃ χωρία ἀνήκεστα ἔργα Λίβυας
overrunning the there places irreparable deeds on-(the)-Libyans
τοὺς παραπεπτωκότας εἰργάσαντο.
the(-ones) falling-in-the-way wrought

28.50 οὐ πολλῷ δὲ ὕστερον Ἰωάννης τῶν στρατιωτῶν τοὺς
not much and later John of-the soldiers the(-ones)
περιγενομένους ἀγείρας καὶ Μαυρουσίους ἄλλους τε καὶ
surviving having-gathered and Moors others both and
τοὺς ἀμφὶ Κουτζίναν ἐς ξυμμαχίαν ἐπαγαγόμενος τοῖς
the(-ones) about Cutzinas into alliance having-brought with-the
πολεμίοις ἐς χεῖρας ἦλθε καὶ αὐτοὺς ἐκ τοῦ παραδόξου
enemies into hands came and them from the unexpected
ἐτρέψατο.
routed

28.51 Ῥωμαῖοί τε αὐτοῖς φεύγουσι κόσμῳ οὐδενὶ ἐπισπόμενοι
Romans both them fleeing with-order no following
μοῖραν μὲν αὐτῶν πολλὴν ἔκτεινον, οἱ δὲ λοιποὶ ἐς τῆς
part indeed of-them great killed the and remaining to —
Λιβύης τὰς ἐσχατιὰς διέφυγον.
of-Libya the farthest-parts escaped

28.52 οὕτω τε Λιβύων τοῖς περιγενομένοις, ὀλίγοις τε καὶ
so both of-Libyans to-the(-ones) surviving few both and
λίαν πτωχοῖς οὖσιν, ὀψὲ καὶ μόλις ἡσυχίαν τινὰ ξυνηνέχθη
very poor being late and barely quiet some befell
γενέσθαι.
to-come